Οὕτως σοι ἐν τῷ στήθει ἄφοβος ὁ νοῦς ὑπάρχει. Μηδαμῶς μοι δῶρα τὰ ἐπήρατα ὀνείδιζε τῆς χρυσοφόρου Ἀφροδίτης. (65) Οὐδαμῶς δὴ ἀποβολῆς ἀξία ὑπάρχει τὰ τῶν Θεῶν μεγαλοδόξα δῶρα, ὁπόσα ἂν αὐτοὶ παράσχωσι, θέλησας δὲ οὐκ ἂν τις λάβοι. Ἀρτίως δ' ἐὰν βουλῇ ἐμὲ τῷ Μενελάῳ πολεμεῖν καὶ μάχεσθαι, τοὺς μὲν λοιποὺς Τρῶας καὶ πάντας τοὺς Ἕλληνας ποίησον καθεσθῆναι· ἐμὲ δ' ἐν τῷ μέσῳ καὶ τὸν φιλοπόλεμον Μενέλαον (70) συνέλασατε περὶ τῆς Ἑλένης καὶ τῶν κτημάτων πάντων πολεμῆσαι. Ὁποῖος οὗτος δ' ὁ νικήσῃ, καὶ κρείττων φανεὶς, τὰ κτήματα λαβὼν καλῶς πάντα, καὶ τὴν γυναῖκα, εἰς τὴν οἰκίαν κομιζέτω· οἱ δὲ λοιποὶ, φιλίαν καὶ ὁρκωμοσίαν πιστὰ ποιησάμενοι, κατοικείτε τὴν Τροίαν τὴν εὐγενῆ· οὗτοι δὲ οἱ Ἕλληνες πορευέσθωσαν (75) εἰς τὸ Ἄργος τὸ ἱππότροφον, καὶ εἰς Ἑλλάδα τὴν καλὰς γυναῖκας ἔχουσαν. Οὕτως εἶπεν. ὁ δὲ Ἕκτωρ ἐχάρη πάλιν μεγάλως τὸν λόγον ἀκούσας. Καὶ δὴ εἰς τὸ μέσον πορευθεὶς, τῶν Τρώων διεχώριζε τὰς τάξεις, τοῦ μέσου τοῦ δορατὸς λαβόμενος· οὗτοι δὲ ἐκάθισαν ἅπαντες. Ἐπὶ τούτῳ δὲ τὰ τάξα ἔτεινον οἱ τῶν τριχῶν ἐπιμελούμενοι Ἕλληνες, (80) τοῖς τε βέλεσι καταστοχαζόμενοι καὶ τοῖς λίθοις ἔβαλλον. Οὗτος δὲ μέγα ἐβόησεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· κατακρατήθητε, ὦ Ἕλληνες, οἱ νεώτεροι τῶν Ἑλλήνων μὴ βάλλετε· διαβεβαιοῦται γὰρ καὶ ὑπισχνεῖταί τινα λόγον ὁ τὴν κορυθὰ κινῶν Ἕκτωρ.

Adnotatio.

noſtro dirimatur ſanguine bellum. Æn. XII. 78.

V. 72. ἐν πάντα] Eleganter hoc exprimit Latinum *omnia omnino. Ern.*

V. 81. μακρὸν αὔσειν —— Ἰσχεσθ', Ἀργεῖοι, μὴ βάλλετε] *Significatque manu, et magno ſimul incipit ore: Parcite iam, Rutuli: et vos, tela inhibete, Latini.* Æn. XII. 692.

V. 83. Vocis ιτος ultima producitur vi cæſuræ.

V. 95.

Ως εφαθ'· οι δ' εσχοντο μαχης, ανεω τ' εγενοντο
Εσσυμενως· Εκτωρ δε μετ' αμφοτεροισιν εειπε·
Κεκλυτε μευ, Τρωες, και ευκνημιδες Αχαιοι,
Μυθον Αλεξανδροιο, του εινεκα νεικος ορωρεν.
Αλλους μεν κελεται Τρωας και παντας Αχαιους
Τευχεα καλ' αποθεσθαι επι χθονι πουλυβοτειρη·
Αυτον δ' εν μεσσω και αρηϊφιλον Μενελαον,
Οιους αμφ' Ελενη και κτημασι πασι μαχεσθαι·
Οπποτερος δε κε νικηση, κρεισσων τε γενηται,
Κτημαθ' ελων ευ παντα, γυναικα τε, οικαδ' αγεσθω,
Οι δ' αλλοι φιλοτητα και ορκια πιστα ταμωμεν.
Ως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπη.
Τοισι δε και μετεειπε βοην αγαθος Μενελαος·
Κεκλυτε νυν και εμειο· μαλιστα γαρ αλγος ικανει
Θυμον εμον, φρονεω δε διακριθημεναι ηδη
Αργειους και Τρωας, επει κακα πολλα πεποσθε
Εινεκ' εμης εριδος, και Αλεξανδρου ενεκ' αρχης·
Ημεων δ' οπποτερω θανατος και μοιρα τετυκται,
Τεθναιη· αλλοι δε διακριθειτε ταχιστα.
Οισετε δ' αρν', ετερον λευκον, ετερην δε μελαιναν,
Γη τε, και Ηελιω· Δι δ' ημεις οισομεν αλλον.
Αξετε δε Πριαμοιο βιην, οφρ' ορκια ταμνη

Adnotatio.

V. 95. Ως εφαθ' οι δ' αρα] *Dixerat Æneas: olli obstupuere silentes, Conversique oculos inter se atque ora tenebant.* Æn. XI. 120.

V. 96. μετειπε βοην αγαθος Μενελαος] Aptissima hæc oratio personæ *Menelai*, qui επι τροχαδην αγορευει, Παυρα μεν, αλλα μαλα λιγεως· επει ου πολυμυθος Ουδ' αφαμαρτοεπης, —— v. 214.

V. 100.

Οὑτως εφη. οὑτοι δε επαυσαντο της μαχης και ἡσυχοι εγενοντο (85) παυ σπουδαιως. ὁ Ἑκτωρ δε εν αμφοτεροις ειπε, ακουσατε μου ω Τρωες και ευοπλοι Ἑλληνες τον λογον του Αλεξανδρου, οὑτινος ενεκα ἡ Φιλονεικια διηγερθη. Τους μεν λοιπους Τρωας και παντας τους Ἑλληνας παρακελευεται τα ὁπλα τα καλα αποθεσθαι επι τῃ πολυτροφῳ γῃ· (90) αυτον δε τον Αλεξανδρον εν τῳ μεσῳ και τον Φιλοπολεμον Μενελαον, μονους περι της Ἑλενῃς και των κτηματων αυτης παντων μαχεσθαι. ὁστις δ' αν νικησῃ, και επικρατεστερος γενηται, τα κτηματα λαβων καλως παντα, και την γυναικα, εις οικον απαγαγετω. Οἱ λοιποι δε, Φιλιαν και ὁρκους πιστους ποιησωμεν. (95) Οὑτως ειπεν. οὑτοι δε δῃ παντες Αχαιοι ησαν εν ακρῳ τῃ σιωπῃ. Εν τουτοις δε προσειπεν ὁ κατα την μαχην γενναιος Μενελαος, ακουσατε νυν και εμου· λιαν γαρ καταλαμβανει λυπη ψυχην την εμην, Φρονω δε αρτιως ἡμας διαχωρισθηναι τους Ἑλληνας και τους Τρωας, επειδη πολλα κακα πεπονθατε (100) ενεκα της εμης Φιλονεικιας, και του Αλεξανδρου ενεκα της αρχης. Ἡμων δ' ὡτινι ουν ὁ θανατος και ἡ μοιρα κατεσκευασται, αποθανοι· οἱ λοιποι δε διαχωρισθητε ταχυτατα. Κομισατε αρνας δυο, τον μεν ενα λευκον, τον δε ἑτερον μελανα, τῃ Γῃ τε και τῳ Ἡλιῳ· ἡμεις δε κομισομεν αλλον τῳ Διΐ. (105) Αγετε δε τον Πριαμον, ὁπως τους ὁρκους ποιησῃ

Adnotatio.

V. 100. Αλιξανδρου ενεκ' αρχης] Præfinito id hic significat vox αρχη, quod Latine dicitur *Cæptum*, *Inceptum*, vel *Susceptum*.

V. 103. ἑτερον λευκον, ἑτερην δε μιλαιναν] *Nigram Hyemi pecudem*, *Zephyris felicibus albam*. Æn. III. 120.

V. 112.

Αυτος, επει οι παιδες υπερφιαλοι και απιστοι·
Μη τις υπερβασιη Διος ορκια δηλησηται.
Αιει δ' οπλοτερων ανδρων φρενες περθονται·
Οις δ' ο γερων μετεησιν, αμα προσσω και οπισσω
Λευσσει, οπως οχ' αριστα μετ' αμφοτεροισι γενηται.
Ως εφαθ'· οι δ' εχαρησαν Αχαιοι τε Τρωες τε,
Ελπομενοι παυεσθαι οϊζυρου πολεμοιο.
Και ρ' ιππους μεν ερυξαν επι στιχας, εκ δ' εβαν αυτοι,
Τευχεα τ' εξεδυοντο, τα μεν κατεθεντ' επι γαιη
Πλησιον αλληλων· ολιγη δ' ην αμφις αρουρα.
Εκτωρ δε προτι αστυ δυω κηρυκας επεμπε
Καρπαλιμως, αρνας τε φερειν, Πριαμον τε καλεσσαι.
Αυταρ ο Ταλθυβιον προϊει κρειων Αγαμεμνων,
Νηας επι γλαφυρας ιεναι, ηδ' αρν' εκελευεν
Οισεμεναι· ο δ' αρ' ουκ απιθησ' Αγαμεμνονι διω.
Ιρις δ' αυθ' Ελενη λευκωλενω αγγελος ηλθεν,
Ειδομενη γαλοω, Αντηνοριδαο δαμαρτι,
Την Αντηνοριδης ειχε κρειων Ελικαων,
Λαοδικην, Πριαμοιο θυγατερων ειδος αριστην.
Την δ' ευρ' εν μεγαρω· η δε μεγαν ιστον υφαινε,
Διπλακα, μαρμαρεην· πολεας δ' ενεπασσεν αεθλους
Τρωων θ' ιπποδαμων, και Αχαιων χαλκοχιτωνων,
Ους εθεν εινεκ' επαχον υπ' Αρηος παλαμαων.

Adnotatio.

V. 112. Ελπομενοι παυεσθαι] *Qui sibi jam requiem pugnæ, rebusque salutem Sperabant.* Æn. XII. 241.

V. 113. εκ δ' εβαν αυτοι] *E curribus descenderunt et in medium*

αυτος, επειδηπερ οι υιοι αυτου υπερηφανοι και απιστοι, μηποτε τις παραβασει του Διος τους ορκους βλαψη. Αει γαρ των νεωτερων ανδρων αι διανοιαι επαρμεναι εισι. Οιστισι δε ο γερων συνων, ομου τα παροντα και μελλοντα (110) βλεπη, οπως εξοχως αριστα εν αμφοτεροις γενηται. Ουτως ειπεν. ουτοι δε εχαρησαν οι τε Ελληνες και οι Τρωες, ελπιζοντες καταπαυθηναι του επιπονου πολεμου. και δη τους ιππους μεν κατεσχον επι τας ταξεις, και εξεκατεβησαν αυτοι. Και τα οπλα αυτων εξεδυοντο, και ταυτα εν τη γη κατεθεντο (115) εγγυς αλληλων· ολιγη δ' ην η μεταξυ αυτων γη. Ο Εκτωρ δε εις τον πολιν δυο κηρυκας επεμψε ταχεως, αρνας τε κομισαι, και τον Πριαμον καλεσαι. Ουτος δε τον Ταλθυβιον προεπεμψε ο βασιλευς Αγαμεμνων επι τας ναυς τας βαθειας πρευθηναι, και αρνας εκελευσε (120) κομισαι· ουτος δε δη ου παρηκουσεν Αγαμεμνονι τω ενδοξω. Η Ιρις δε Ελενη τη λευκοβραχιονι αγγελος παρεγενετο, ομοιωθεισα τη ανδραδελφω, του Αντηνορος υιου τη γαμετη, ητινα ο υιος Αντηνορος γυναικα ειχεν ο βασιλευς Ελικαων την Λαοδικην, την κατα ειδος βελτιστην των Πριαμου θυγατρων. (125) Ταυτην δε εφευρε εν τω οικω· αυτη δε μεγαν ιστον ιστουργει, διπλοον, πορφυραν· πολλους δε ενεποικιλλεν αθλους Τρωων των ιππικων, και Ελληνων των σιδηροθωρακων, ουσπερ αυτης ενεκα επασχον υπο των χειρων του πολεμου.

Adnotatio.

dium exibant. Fit autem ex ιβασαν, ιβαν. Simili analogia atque ex ιτραφησαν, τραφιν.

V.115. ολιγη δ' ην αμφις αρουρα] *Discessere omnes medii, spatiumque dedere.* Æn. XII. 696. V.132.

Αγχου δ' ισταμενη προσεφη ποδας ωκεα Ιρις·
Δευρ' ιθι, νυμφα φιλη, ινα θεσκελα εργα ιδηαι
Τρωων θ' ιπποδαμων, και Αχαιων χαλκοχιτωνων·
Οι πριν επ' αλληλοισι φερον πολυδακρυν Αρηα
Εν πεδιῳ, ολοοιο λιλαιομενοι πολεμοιο·
Οι δη νυν εαται σιγη, πολεμος δε πεπαυται,
Ασπισι κεκλιμενοι, παρα δ' εγχεα μακρα πεπηγεν·
Αυταρ Αλεξανδρος και αρηϊφιλος Μενελαος
Μακρης εγχειησι μαχησονται περι σειο·
Τῳ δε κε νικησαντι φιλη κεκληση ακοιτις.
Ως ειπουσα θεα, γλυκυν ιμερον εμβαλε θυμῳ
Ανδρος τε προτεροιο, και αστεος, ηδε τοκηων.
Αυτικα δ' αργεννησι καλυψαμενη οθονησιν,
Ωρμαθ' εκ θαλαμοιο, τερεν κατα δακρυ χεουσα·
Ουκ οιη, αμα τηγε και αμφιπολοι δυ' επποτα,
Αιθρη Πιτθηος θυγατηρ, Κλυμενη τε βοωπις.
Αιψα δ' επειθ' ικανον, οθι Σκαιαι πυλαι ησαν.
Οι δ' αμφι Πριαμον και Πανθοον, ηδε Θυμοιτην,
Δαμπον τε, Κλυτιον θ', Ικεταονα τ', οζον Αρηος,
Ουκαλεγων τε και Αντηνωρ, πεπνυμενω αμφω,
Εἱατο δημογεροντες επι Σκαιησι πυλησι,

Adnotatio.

V. 132. πολυδακρυν αρηα] *Lachrymabile bellum.* Æn. VII. 604.

V. 135. Ασπισι κεκλιμενοι, παρα δ' εγχεα μακρα πεπηγεν] *Stant terra defixæ haſtæ.* Æn. VI. 652. *Stant longis adnixi haſtis, et ſcuta tenentes.* Æn. IX. 229. *Defigunt tellure haſtas, et ſcuta reclinant.* Æn. XII. 130. *Ariſtophanes*, ad hunc locum alludens, Και τον θυμον καταθου, κυψας παρα την εργην, ωσπερ οπλιτης. *Av.* 401.

V. 141. Notandus hic primigenius vocis *mediæ* uſus: καλυψαμενη,

Ἔγγυς δὲ στασα εἰπεν ἡ ταχυπους Ιρις· (130) Δευρο βαδιζε, ω προσφιλεστατη νυμφη, ὁπως θεια και θαυμαστα εργα θεασῃ Τρωων τε των ἱππιχων και Ελληνων των σιδηροθωραχων. Οἱ τινες εν αλληλοις προτερον εφερον τον πολλων δακρυων αιτιον σιδηρον εν τῳ πεδιῳ, του ολεθριου επιθυμουντες πολεμου· οὑτοι δὲ νυν καθεζονται εν σιωπῃ, ὁ δὲ πολεμος πεπαυται, (135) εν ταις ασπισι αυτων επικειμενοι, πλησιον δὲ αυτων και τα δορατα μακρα πεπηγμενα εισι· ὁ δὲ Αλεξανδρος και ὁ Φιλοπολεμος Μενελαος τοις μακροις δορασι πολεμησουσι περι σου· ἐξ αυτων δὲ τῳ νικησαντι προσφιλης κληθησι γυνη, γαμετη. Οὑτως εἰπουσα ἡ θεα, γλυκειαν επιθυμιαν ενεβαλε τῃ ψυχῃ (140) Και ανδρος τε του προτερου, και της πολεως, και των γονεων. Ευθεως δὲ λαμπραις καλυφθεισα ὀθοναις, ὡρμηθη εκ του κοιτωνος αυτης, ἀπαλον δακρυ χεουσα· ου μονη, ἁμα δὲ αυτῃ και θεραπαινιδες δυο ηκολουθουν, ἡ Αιθρη, ἡ του Πιτθεως θυγατηρ, και Κλυμενη ἡ βοοφθαλμος. (145) Επειδη ταχεως εφθασαν ὁπου αἱ αριστεραι πυλαι ὑπηρχον. Οἱ δὲ περι τον Πριαμον, και τον Πανθοον, και τον Θυμοιτην, και τον Λαμπον, και τον Κλυτιον, και Ικεταονα τον πολεμικον, και ὁ Ουκαλεγων, και Αντηνωρ, συνετοι αμφοτεροι, εκαθηντο οἱ του δημου γεροντες επι ταις αριστεραις πυλαις,

Adnotatio.

καλυψαμενη, *cum ſeipſum cooperuiſſet.* Clark. Vide plura de uſu vocis mediæ in *Prima Parte.*

V. 144. Αιθρη Πιτθος θυγατηρ] Οἱ δὲ και τουτο το ἐπος διαβαλλουσι. *Plutarch. in Theſeo ſub finem.*

V. 146. Οἱ δ' αμφι Πριαμοιο] Quemadmodum Πριαμοιο βιη, eſt *Priamus ipſe*; vide ſupra ad v. 105; et ad β'. v. 658; ita οἱ αμφι Πριαμοιο, *Priami aſſeclæ et pediſſequi, Priami comitatus*, idem ſonat ac *ipſe Priamus.* V. 152.

Γηραϊ δη πολεμοιο πεπαυμενοι· αλλ' αγορηται
Εσθλοι, πεπιγεσσιν εοικοτες, οιτε καθ' ὑλην
Δενδρεῳ εφιζομενοι οπα λειριοεσσαν ιεισι·
Τοιοι αρα Τρωων ηγητορες ητ' επι πυργῳ.
Οι δ' ὡς ουν ειδον Ελενην επι πυργον ιουσιν,
Ηκα τπος αλληλους επεα πτεροεντ' αγορευον·
Ου νεμεσις, Τρωας και εὐκνημιδας Αχαιους
Τοιηδ' αμφι γυναικι πολυν χρονον αλγεα πασχειν·
Αινως αθανατῃσι θεῃς εις ωπα εοικεν.
Αλλα και ὡς, τοιη περ εουσ', εν νηυσι νεεσθω,
Μηδ' ἡμιν τεκεεσσι τ' οπισσω πημα λιπηται.
Ως αρ' εφαν· Πριαμος δ' Ελενην εκαλεσσατο φωνῃ·
Δευρο παροιθ' ελθουσα, φιλον τεκος, ἱζευ εμειο,
Οφρα ιδῃς προτερον τε πσιν, πηους τε, φιλους τε·
Ουτι μοι αιτιη εσσι, θεοι νυ μοι αιτιοι εισιν,
Οι μοι εφωρμησαν πολεμον πολυδακρυν Αχαιων·

Adnotatio.

V. 152. Δενδρεω εφιζομενοι] Enunciabatur δενδρῳ.

Ibid. οπα λειριοεσσαν] Vocem *ſuavem*; vel, ut alii, *gracilem*. Οι δε γεροντες, τεττιξιν εοικοτες, ζωοις οξυφωνοις ισαζουσι. *Dionyſ. Halicarn.* περι της Ομηρου ποιησεως, §. 18. *Clark.* Hunc verſum Timon ſillographus ap. Diog. Laërt. III. 7. lepide accommodat ad Platonicorum conſeſſus et diſputationes in Academia.

V. 156. Ου νεμεσις — Τοιηδ' αμφι γυναικι] "Illud quoque "eſt ex relatione ad aliquid, "quod non ejus rei gratia "dictum videtur, *Amplificationis* "*nis* genus. Non putant in- "dignum Trojani principes, "Graios Trojanoſque propter Helenæ ſpeciem tot mala tanto temporis ſpatio ſuſtinere: *Quænam* igitur *illa* "*Forma* credenda eſt? Non "enim hoc dicit *Paris*, qui "rapuit; non aliquis *Juvenis*; non unus e *Vulgo*; ſed "*Senes*, et *prudentiſſimi*, et "*Priamo aſſidentes*. Verum ex "*ipſe Rex*, decenni bello exhauſtus, amiſſis tot liberis, "immi-

(150) Δια το γηρας μεν του πολεμου καταπεπαυμενοι, αλλα δημηγοροι αγαθοι, τοις τεττιξι ὁμοιουμενοι, οἱτινες κατα την ὑλην επι δενδρῳ καθεζομενοι φωνην ἡδειαν πεμπουσι· τοιουτοι δη οἱ Τρωων ἡγεμονες εκαθηντο επι το τειχος. Οὑτοι δε ὡς εθεασαντο την Ἑλενην επι τον πυργον πορευομενην, (155) ηρεμα προς αλληλους λογους ταχεις ελεγον· ουκ εστι μεμψις Τρωας και τους ευοπλους Ελληνας ἑνεκα τοιαυτης γυναικος πολυν χρονον λυπας ὑπομενειν· λιαν τοις αθανατοις Θεοις κατα την προσοψιν ὡμοιωται. Αλλα και ὁμως, τοιαυτη ὑπαρχουσα, εν ταις ναυσι πορευεσθω, (160) μηδε ἡμιν και τοις τεκνοις ἡμων εις το μετα ταυτα βλαβη καταλιπηται. Οὑτως δη ειπον· ὁ δε Πριαμος τῃ φωνῃ προσκαλεσατο την Ελενην. Ελθε, ω προσφιλεστατον τεκνον, ενταυθα, και πλησιον εμου καθεζου, ὁπως θεασῃ τον προτερον σου ανδρα, και τους κατ' επιγαμιαν οικειους, και τους φιλους, (ουδαμως συ μοι αιτια ὑπαρχεις, οἱ Θεοι μοι εισιν αιτιοι, (165) οἱτινες εν εμοι εφορμηθηναι εποιησαν τον πολεμον των Ελληνων τον πολλων δακρυων αιτιον.)

Adnotatio.

" imminente ſummo diſcri-
" crimine, cui faciem illam,
" ex qua tot lacrymarum ori-
" go fluxiſſet, inviſam atque
" abominandam eſſe oporte-
" bat; et audit hæc, et eam
" *Filiam* appellans juxta ſe
" locat, et excuſat etiam, at-
" que ſibi eſſe malorum cau-
" ſam negat." *Quintilian. lib.* 8. *c.* 4.

V. 158. αινως εοικεν] Ioniſmus eſt in αινως pro σφοδρα, qui etiam apud Herodotum obvius eſt, ut IV. 61. αινως αξυλος χωρα et ap. Hippocratem. v. Fœſ. Oecon. H. in v. de forma αθανατῃσι v. Euſtath. ad Il. ρ', 78. αθανατη, inquit, αναλογως ειρηται τῳ, ἡ ευποιητη, ἡ ευξεστη, ἡ ασβεστη, και τοις ὁμοιοις. *Ern.*

V. 164. Ουτοι μοι αιτιη εσσι. Θεοι νυ μοι αιτιοι εισιν] *Non tibi Tyndaridis facies inviſa Lacænæ, Culpatuſve Paris; verum inclementia Divûm Has evertit opes, ſternitque a culmine Trojam.* Æn. II. 601.

V. 166.

Ὡς μοι καὶ τονδ' ἀνδρα πελωριον ἐξονομηνης,
Ὁστις ὁδ' ἐστιν Ἀχαιος ἀνηρ ἠυς τε μεγας τε.
Ἡ τοι μεν κεφαλὴ καὶ μειζονες ἄλλοι ἐασι·
Καλον δ' οὐτω ἐγων οὐπω ἰδον ὀφθαλμοισιν,
Οὐδ' οὐτω γεραρον· βασιλῆϊ γαρ ἀνδρι ἐοικε.
Τον δ' Ἑλενη μυθοισιν ἀμειβετο δια γυναικων·
Αἰδοιος τε μοι ἐσσι, φιλε ἑκυρε, δεινος τε.
Ὡς ὀφελεν θανατος μοι ἀδεϊν κακος, ὁπποτε δευρο
Υἰεϊ σῷ ἑπμην, θαλαμον γνωτους τε λιπουσα,
Παιδα τε τηλυγετην, καὶ ὁμηλικιην ἐρατεινην.
Ἀλλα τα γ' οὐκ ἐγενοντο· το καὶ κλαιουσα τετηκα.
Τουτο δὲ τοι ἐρεω, ὁ μ' ἀνειρεαι, ἠδὲ μεταλλας·
Οὐτος γ', Ἀτρειδης εὐρυκρειων Ἀγαμεμνων,
Ἀμφοτερον βασιλευς τ' ἀγαθος, κρατερος τ' αἰχμητης.
Δαηρ αὐτ' ἐμος ἐσκε κυνωπιδος, εἰ ποτ' ἐην γε.

Adnotatio.

V. 166. Ἐζητηται δὲ, πως ὁ Πριαμος τῳ δεκατῳ ἐτει συνῳκηται περι των ἀριστων; Λεγουσιν οἱ παλαιοι, Ἐπειδὴ πρωτερον περι πας ἀστυγειτονας πολεις ἐπλανωντο· ὡς που καὶ ὁ Ποιητης φησι, Πλαζομενος κατα λαὸν, ὁπη ἐρξειεν Ἀχιλλευς· νυν δὲ προσκαθηνται τῃ Ἰλιῳ. — Προτερον δὲ οὐκ ἐτιθεατο οὐτω παντας ὁπλους (v. 114) ὡς νυν. *Schol.* ad v. 170.

V. 172. Αἰδοιος τε μοι ἐσσι, φιλε ἑκυρε, δεινος τε] Οἱ δεινοτατοι προς τους νομους, συμπαλαιοτατοι προς τους πολιτευους εἰσι· — διο καὶ καλως — Ὁμηρος, Αἰδοιος τε μοι ἐσσι, φιλε ἑκυρε, δεινος τε. *Plutarch. in Agid. et Cleomene.* Ultima vocis φιλε producitur in aſpiri ſpiritus qui ſequitur et vim obtinet Æolici digammatis.

V. 173. Ὡς ὀφελεν θανατος μοι] Pulcherrime, et ſingulari plane cum condecentia, atque ad perſonam convenientiſſime, dedecus ſuum hic in exordio orationis præfatur *Helena*; ὡς ὀφελεν θανατος μοι &c. et eodem tandem deſinit — ἐμος ἐσκε κυνωπιδος, εἰ ποτ' ἐην γε.

V. 176. Ἀλλα τα γ' οὐκ ἐγενοντο] *Quod optaverim, quodque factum oportebat; non evenit.*

V. 179.

Οπως μοι και τουτον τον ανδρα, τον μεγαν, εξ ονοματος ειπης, ὁστις ουτος ὑπαρχει ὁ Ελλην ανηρ ὁ ωλατυς και μεγας. Κατα μεν το ὑψος της ηλικιας και κεφαλη και αλλοι ὑπαρχουσι μειζονες· καλον δε ουτως εγω ουδεποτε τοις ὀφθαλμοις μου ειδον, (170) ουδε ουτως εντιμον· βασιλει γαρ ανδρι ὁμοιουται. Προς τουτον δε ἡ Ελενη ἡ ενδοξοτατη των γυναικων ανταπεκρινατο λογοις, εντροπης μοι ἀξιος ὑπαρχεις και Φοβερος, ω τροσΦιλεστατε πενθερε. Και ειθε ηρεσε με θανατος ὁ κακος, ὁποτε εντευθα τω σω υἱω επηκολουθουν, τον οικον μου, και τους αδελΦους καταλιπουσα, (175) και την μονογενη μου ταιδα, και τας επεραστους και καλας ὁμηλικας. Αλλα ταυτα ουκ εγενοντο· τουτο δε και κλαιουσα εκτηκομαι. Τουτο δε σοι λεγω ὁπερ με ανερωτας και τολυπραγμονεις· ουτος, ὁ υἱος του Ατρεως, ὁ μεγαλως κρατων Αγαμεμνων, κατ' αμΦοτερα ευδοκιμων, βασιλευς δικαιος, και ισχυρος πολεμιστης. (180) ΑνδραδελΦος δε εμου της αναιδεστατης ην, εαν ποτε ὑπηρχεν.

Adnotatio.

V. 179. Αμφοτερων βασιλευς τ' αγαθος, κρατερος τ' αιχμητης] Ειπερ γενοιτο των Ομηρου συγκρισις επων εν ταις διατριβαις, η παρα τα συμπεσια, αλλον αλλου στιχον προκρινοντος, ουτος Αλεξανδρος ὡς διαφεροντα παντων ενεκρινε τουτον, Αμφοτερον βασιλευς τ' αγαθος, κρατερος τ' αιχμητης. *Plutarch. de Alexandri Magni fortuna ſive virtute, orat.* 1. Αρχει ὁτι αιχμητης τε και κρατερος αν ειη, ουκ ει μονος ουτος εν αγωνιζοιτο προς τους πολεμιους, αλλ' ει και παντι τω στρατοπεδω τουτου αιτιος ειη; και βασιλευς αγαθος, ουκ ει μονον του εαυτου βιον καλως προιστηκοι, αλλ' ει και, ων βασιλευοι, τουτοις ευδαιμονιας αιτιος ειη. *Xenoph.* Απομνημονευμ. *lib.* 3.

V. 180. ει ποτ' ην γε] *Siquidem id meminiſſe fas ſit: Si unquam digna eram, quæ iſto nomine memorarer.* Vide ſupra ad v. 173. *Euſtathius* hæc ita explicat: Το δε, ειποτ' ην γε, πρακτικως τον επι τη μοιχεια του ανδρος λυπουμενον ισως κατ' αυτης· οιονει λεγουσα, ὡς ου των εστιν, αλλα ποτ' ην. *Domina Dacier* hoc modo vertit: "*Il étoit* "*mon beau frere: Helas! mal-*" *heureule puis je vivre, et pen-*" *ſer que je ne puis plus lui don-*" *ner ce nom?*"

V. 182.

Ως φατο· τον δ' ὁ γερων ηγασσατο, φωνησεν τε·
Ω μακαρ Ατρειδη, μοιρηγενες, ὀλβιοδαιμον,
Η ῥα νυ τοι πολλοι δεδμηατο κουροι Αχαιων.
Ηδη και Φρυγιην εισηλυθον αμπελοεσσαν,
Ενθα ἰδον πλειστους Φρυγας, ανερας αιολοπωλους,
Λαους Οτρηος και Μυγδονος αντιθεοιο,
Οἱ ῥα τοτ' εστρατοωντο παρ' οχθας Σαγγαριοιο,
Και γαρ εγων επικουρος εων μετα τοισιν ελεχθην
Ηματι τῳ, ὁτε ηλθον Αμαζονες αντιανειραι·
Αλλ' ουδ' οἱ τοσοι ησαν, ὁσοι ἑλικωπες Αχαιοι.
Δευτερον αυτ' Οδυσηα ἰδων, ερεειν' ὁ γεραιος·
Ειπ' αγε μοι και τονδε, φιλον τεκος, ὁστις ὁδ' εστι·
Μειων μεν κεφαλῃ Αγαμεμνονος Ατρειδαο,
Ευρυτερος δ' ωμοισιν, ἰδε στερνοισιν ἰδεσθαι.
Τευχεα μεν οἱ κειται επι χθονι πουλυβοτειρῃ,
Αυτος δε, κτιλος ὡς, επιπωλειται στιχας ανδρων·
Αρνειῳ μιν εγωγε ἐισκω πηγεσιμαλλῳ,
Οστ' οἰων μεγα πωϋ διερχεται αργεννaων.
Τον δ' ημειβετ' επειθ' Ελενη, Διος εκγεγαυια·

Adnotatio.

V. 182. Ω μακαρ Ατρειδη, μοιρηγενες, ολβιοδαιμον] Εξωθεν ουτος ὁ μακαρισμος, ὁπλων και ἱππων και στρατειας περικεχυμενης· αἱ δε των παθων φαναι προς την κενην δοξαν ενδοθεν αντιμαρτυρουσι, Ζευς με μεγα Κρονιδης ατη ενεδησε βαρειη, *Plutarch. de Animi Tranquillit.*

V. 184. Ηδη και Φρυγιην εισηλυθον] *Nam memini Heſiones viſentem regna ſororis Laomedontiadem* Priamum. Æn. VIII. 157.

V. 185. Ενθα ἰδον πλειστους] *Narratio* ſenſibus fere perpetua, etiam in hac brevi oratione mire condecet.

V. 188. εγων επικουρος εων] Επικουροι λεγονται, οἱ τοις πολεμουμενοις

Οὑτως ειπεν. τουτον δε ὁ γερων θαυμασας προσεφωνησε· Ω ευγενεστατε υἱε του Ατρεως, εν καλῃ μοιρᾳ γεγενημενε, πλουτῳ ευτυχεστατε, οντως δη σοι ευλογως ὑποτατ]ονται πολλοι των Ἑλληνων νεοι. Προ καιρου δε εις Φρυγιαν παραγεγονα την αμπελους εχουσαν· (185) Εκεισε εθεασαμην πλειστους ανδρας Φρυγας ταχεις ἱππους εχοντας, τους οχλους του Οτρεως και του ισοθεου Μυγδονος, οἱ τινες τοτε εστρατοπεδευοντο επι ταις οχθαις του Σαγγαριου ποταμου. Και γαρ εγω συμμαχος ὑπαρχων εν τουτοις κατηριθμουμην, τῃ ἡμερᾳ εν ᾗ αἱ τοις ανδρασι εναντιουμεναι Αμαζονες ηλθον. (190) Αλλ' ουδε οὑτοι τοσουτοι ησαν ὁποσοι οἱ ευοφθαλμοι Ἑλληνες. Δευτερον δε τον Οδυσσεα θεασαμενος ὁ γηραιος ανηρωτα, αγε, ω προσφιλες τεκνον, ειπε μοι και τουτον ὁστις εστι. Μικροτερος μεν τῃ κεφαλῃ του υἱου του Ατρεως Αγαμεμνονος, πλατυτερος δε τοις ωμοισι και τοις στηθεσι ὁρασθαι. (195) Τα οπλα αυτου κειται επι τῃ πολλους τρεφουσῃ γῃ, αυτος δη καθαπερ χειροηθης κριος επερχεται τας ταξεις των ανδρων· εγω αυτον εικαζω κριῳ ευτραφεις μαλλους εχοντι, ὁς το μεγα ποιμνιον των λαμπρομαλλων διερχεται προβατων. Προς τουτον η εκ Διος γεννηθεισα η Ελενη μετα ταυτα ανταπεκρινατο,

Adnotatio.

μουμενοις βοηθουντες· συμμαχοι δε, οἱ των πολεμουντων. *Schol.*

V. 191. Δευτερον αυτ' Οδυσηα ιδων, ερεειν' ὁ γεραιος] Πως ουκ εγνω αυτον ὁ Πριαμος, ὁς προτερον ἁμα Μενελεῳ εις Τροιαν εληλυθει; Απαξ μονον εντυχων, και μετα δεκαετη χρονον, ευλογως ὁ γεραιος απο μνημης ειχεν· Ισως μεν, ουκ οξυ βλεπων, δια το βαθυ γηρας· τυχον δε, και εξελαθετο, η ουδε τοτε ηκριβωσατο. *Schol.* apud *Barnesium*, et *Eustath.* Cæterum Δευτερον hic intelligendum το δευτερον, sicut (infra, v. 225) το τριτον.

V. 195. Τευχεα μεν οι] Μεν hic producitur; eadem analogia qua μαλα, v. 214; et τε, v. 221; et επεα, v. 222.

V. 200.

Ουτος δ' αυ, Λαερτιαδης πολυμητις Οδυσσευς,
Ος τραφη εν δημω Ιθακης, κραναης περ' εουσης,
Ειδως παντοιους τε δολους και μηδεα πυκνα.
Την δ' αυτ' Αντηνωρ πεπνυμενος αντιον ηυδα·
Ω γυναι, η μαλα τουτο επος νημερτες εειπες.
Ηδη γαρ και δευρο ποτ' ηλυθε διος Οδυσσευς,
Σευ ενεκ' αγγελιης, συν αρηϊφιλω Μενελαω·
Τους δ' εγω εξεινισσα, και εν μεγαροισι φιλησα·
Αμφοτερων δε φυην εδαην και μηδεα πυκνα·
Αλλ' οτε δη Τρωεσσιν αγειρομενοισιν εμιχθεν,
Σταντων μεν, Μενελαος υπειρεχεν ευρεας ωμους,
Αμφω δ' εζομενω, γεραρωτερος ην Οδυσσευς.
Αλλ' οτε δη μυθους και μηδεα πασιν υφαινον,
Η τοι μεν Μενελαος επιτροχαδην αγορευε,
Παυρα μεν, αλλα μαλα λιγεως, επει ου πολυμυθος,

Adnotatio.

V. 200. Ουτος δ' αυ] Peſſime hic Scholiaſtes interpolatus: και Ουτοσδε λεγεται, καθαπερ Τοιοσδε. Quem malo omine ſecutus eſt *Barneſius*, et hic, et v. 229, et alibi.

Ibid. πολυμητις Οδυσσευς] *Pellacis Ulyſſei.* Æn. II. 90.

V. 201. Ιθακης, κραναης περ εουσης] *Scopulus Ithacæ, Laërtia regna.* Æn. III. 272. "*Ithacam illam in aſperrimis "ſaxis tanquam nidulum af-"fixam.*" Cic. de Orat. I.

V. 203. αντιον ηυδα] *Æolus hæc contra.* Æn. I. 80. *Æneas contra cui talia reddit.* Æn. X. 530.

V. 205. ποτ' ηλυθε] Poſtulat temporum ratio, ut ſit ηλυθε ab Aoriſto ηλυθον, non a Præterito (ut vocant) ηλυθα.

V. 206. Σευ ενεκ' αγγελιης] Vertunt Recentiores. *Tui cauſa Legatus.* At *Euſtathius:* Ενεκ' αγγελιης της κατα την Ελενην. *Clark.* Recte Euſtathius. Durius Græci utuntur genitivis, ubi latina lingua præpoſitione utitur: quod tamen et Latini poetæ imitantur. Apud Thucydidem eſt ψηφισμα Μεγαριων, plebiſcitum de Megarenſibus, vel contra Megarenſes I. 100. 140.

Ibid. συν αρηϊφιλω Μενελαω] Cum

(200) Οὑτος δε ὁ του Λαερτου παις ὑπαρχει ὁ πολυβουλος Οδυσσευς, ὁστις ετραφη εν τῳ δημῳ της Ιθακης καιτοι τραχειας ὑπαρχουσης, επισταμενος τους παντοδαπους δολους και τα συνετα βουλευματα. Προς ταυτην δε ὁ Αντηνωρ ὁ συνετος και προφρων εξ εναντιας ειπε· Ω γυνη, οντως δη λιαν τουτον τον λογον αληθη ειπας· (205) προ ολιγου δηποτε ενταυθα παρεγενετο ὁ ενδοξος Οδυσσευς, ἑνεκα της σου αγγελιας, συν τῳ φιλοπολεμῳ Μενελαῳ. Τουτους δ' εξενοδοχησα, και εν τοις οικοις εφιλοφρονησαμην. Αμφοτερων δε την φυσιν εμαθον και τα συνετα βουλευματα. Αλλ' ὁποτε δη εν τοις συναθροισθεισι εμιγησαν Τρωσι, (210) σταθεντων μεν, ὁ Μενελαος ὑπερειχεν κατα τους πλατεις ωμους, αμφοτερων δε καθεζομενων, εντιμοτερος ὑπηρχεν ὁ Οδυσσευς. Αλλ' ὁτε δη λογους και βουλας εν ἁπασι κατεσκευαζον και ελεγον, ὁ μεν Μενελαος συντομωτατα παντα παρατρεχων τα καιρια ελεγε, ολιγα μεν, αλλα λιαν ἡδεως· επειδη ου πολυλογος ην.

Adnotatio.

Cum *Menelaus*, et vir Princeps, et singulare certamen jam initurus, nequaquam hoc in loco prætereundus esset; nec tamen de ejus charactere *Helenam* verba facere deceret; pulcherrimo artificio (ut recte notavit *Popius*) *Antenorem* inducit Poeta, formam atque ingenium *Menelai* hic describentem.

V. 207. εξεινισσα] Recte cum duplici σ. Quod εξεινισα penultimam corripit.

V. 211. Αμφω δ' ἑζομενω, γεραρώτερος ην Οδυσσευς] Convenit in hunc locum quod de *Odyss.μ'*, v. 73. observavit *Demetrius Phalereus* περι ἑρμηνειας, §. 60. Τῳ Μεγαλοπρεπεϊ μεν — την ανθυπαλλαγην, ὡς Ὁμηρος "Οἱ δε δυω σκοπελοι, ὁ μεν ουρα-"νον —" Πολυ γαρ οὑτω μεγαλειοτερον, εναλλαγεισης πτωσεως, η ειπερ οὑτως εφη, "Των δε δυω "σκοπελων, ὁ μεν ουρανον" —— Cæterum de hujusmodi Syntaxeos *ratione*, (cui nihil est commune cum absurda illa, quam vocant, *Antiptosi*;) vide *Primam partem*.

V. 213. 224. Ητοι μεν Μενελαος —, Αλλ' ὁτε δη — Οδυσσευς —.] *Menelaus* concionabatur επιτροχαδην, συντομως, εσπευσμενως. Παυρα μεν. *Ulysses* vero,

Ουδ' αφαμαρτοεπης, ει και γενει ὑστερος ηεν·
Αλλ' ὁτε δη ωολυμητις αναϊξειεν Οδυσσευς,
Στασκεν, ὑπαι δε ιδεσκε κατα χθονος ομματα ωηξας.
Σκηπτρον δ' ουτ' οπισω, ουτε ωροπρηνες, ενωμα,
Αλλ' αστεμφες εχεσκεν αϊδρει φωτι εοικως·
Φαιης κεν ζακοτον τινα εμμεναι, αφρονα θ' αὐτως·
Αλλ' ὁτε δη ρ' ὀπα τε μεγαλην εκ στηθεος ἱει,
Και επεα νιφαδεσσιν εοικοτα χειμεριησιν,
Ουκ αν επειτ' Οδυσηϊ γ' ερισσειε βροτος αλλος·
Ου τοτε γ' ὡδ' Οδυσηος αγασσαμεθ' ειδος ιδοντες.
Το τριτον αυτ' Αιαντα ιδων ερεειν' ὁ γεραιος·
Τις τ' αρ' ὁδ' αλλος Αχαιος ανηρ ηϋς τε μεγας τε,

Adnotatio.

vero, ωολλα και συκνα. *Schol.* Ουκ ημιλησε δε ουδε χαρακτηρισαι τους ἑητορας. Τον μεν γαρ Νεστορα, ηδυν και ωροσηνη τοις ακουουσιν εισαγει· τον δε Μενελαον, βραχυλογον και ευχαριν, και τον ωροκειμενου τυγχανοντα· τον δε Οδυσσεα, ωολλη και συκνη τη δεινοτητι των λογων ειχρησατο. *Dionyſ. Halicarn.* ωερι της Ὁμηρου ωοιησεως, §. 20. "*Menelaum* "ipſum, dulcem illum qui- "dem tradit *Homerus*: ſed "pauca loquentem" *Cic. de clar. Orat.* "Itaque oratio illa "[*Ulyſſis*] apud *Homerum* con- "citata, et ſine intermiſſione "in *morem nivis* ſuperveniens, "oratori data eſt." *Senec. epiſt.* 40. "*Homerus* brevem qui- "dem cum animi jucundita- "te, et propriam, (id enim "eſt, *non errare verbis*) et ca- "rentem ſupervacuis elo- "quentiam, *Menelao* dedit; "quæ ſunt virtutes generis "illius primi. Et ex ore *Neſ- "toris* dixit *dulciorem melle* "profluere ſermonem; qua "certe delectatione nihil fin- "gi majus poteſt. Sed ſum- "mam aggreſſus, ut in *Ulyſſe*, "facundiam, magnitudinem "illi junxit; cui orationem "*Nivibus Hybernis*, et copia "verborum, atque impetu, "parem tribuit. Cum hoc "igitur nemo mortalium con- "tendet." *Quintilian. lib.* 12. *cap.* 10. "Sed ea ipſa genera "dicendi, jam antiquitus tra- "dita ab *Homero* ſunt tria in "tribus: Magnificum in *U- "lyxe*, et ubertum; Subtile "in *Menelao*, et cohibitum; "mixtum moderatumque, in "*Neſ-*

(215) Ουδε εν τῳ λεγειν ἁμαρτανων, εαν και την ἡλικιαν ὑστερος ην. Αλλ' ὁπιτε ὁ πολυβουλος ανωρμησεν Οδυσσευς, ἱστατο, ὑπεβλεπε δε επι την γην τους οφθαλμους αυτου πηξας, το δε σκηπτρον ουτ' εις τουπισω ουτε εις τουμπροσθεν εκινει, αλλ' αμετακινητον αυτο κατειχε, απειρῳ ὁμοιουμενος ανδρι. (220) Ειπες αν πανυ οργιλον τινα ειναι και αφρονα ματαιως οὑτως. αλλ' οποτε δη φωνην μεγαλην εκ του στηθους αυτου επεμψεν, και λογους τους νιφασι παραπλησιους ταις χειμεριναις, ουδαμως τῳ Οδυσσει ηδυνατο εξισωθηναι αλλος τις βροτος. Και ου τοτε οὑτω εθαυμαζομεν ιδοντες του Οδυσσεος το ειδος, ὡσπερ τους λογους. (225) Το δε τριτον τον Αιαντα ιδων ανηρωτα ὁ πρεσβυτης· τις δη οὑτος ὁ ἑτερος Ἑλλην ανηρ ὁ πλατυς και μεγας,

Adnotatio.

"*Nestore.*" *Gell. lib.* 7. *cap.* 14.

V. 217. Στασκεν, &c.] *Defixa Latinus Obtutu tenet ora, soloque immobilis hæret, Intentos volvens oculos.* Æn. VII. 249. "Mire auditurum dicturi cura "delectat —. Hoc præcipit "*Homerus, Ulyssis* exemplo; "quem stetisse *oculis in terram defixis, immotoque sceptro*, priusquam illam eloquentiæ *procellam* effunderet, dicit." *Quintilian. lib.* XI. *cap.* 3. Ludum facit hunc locum *Aristophanes, Nub.* ver. 187 et 191: Αταρ τι ποτ' ες την γην βλεπουσιν οὑτοιϊ;—Τι γαρ οἱδε δρωσιν, οἱ σφοδρ' εγκεκυφοτες; *Clark.* Huc respexit et *Ovid. Met.* XIII. 125. *Adstitit, atque oculos paulum tellure moratus, sustulit ad proceres* &c. *Ern.*

V. 222. επεα νιφαδεσσιν εοικοτα] Vide supra ad v. 213.

V. 223. Artificium hujus loci attingitur a Strabone L. I. p. 33. *Ern.*

V. 226. ανηρ ηϋς τε μεγας τε, Εξοχος Αργειων κεφαλην ηδ' ευρεας ωμους] *Latos humeros* Æn. XI. 679. *Sed cunctis altior ibat Anchises* Æn. VIII. 162. *Ipse inter primos præstanti corpore Turnus Vertitur, arma tenens, et toto vertice supra est.* Æn. VII. 783. *Musæum ante omnes: medium nam plurima turba Hunc habet, atque humeris extantem suspicit altis.* Æn. VI. 667. Ubi notandum, *Musæum*, non *Homerum*, inter omnes tum eminere visum; quod *Homerus*, quo tempore, quæ ibi narrantur, gesta sunt, nondum natus esset.

V. 230.

Εξοχος Αργειων κεφαλην ηδ' ευρεας ωμους;
Τον δ' Ελενη τανυπεπλος αμειβετο, δια γυναικων·
Ουτος δ' Αιας εστι τελωριος, ερκος Αχαιων·
Ιδομενευς δ' ετερωθεν ενι Κρητεσσι, θεος ως,
Εστηκ'· αμφι δε μιν Κρητων αγοι ηγερεθονται.
Πολλακι μιν ξεινισσεν αρηϊφιλος Μενελαος
Οιχω εν ημετερω, οποτε Κρητηθεν ικοιτο.
Νυν δ' αλλους μεν πανταs ορω ελικωπας Αχαιους,
Ους κεν εϋ γνοιην, και τυνομα μυθησαιμην·
Δοιω δ' ου δυναμαι ιδειν κοσμητορε λαων,
Καστορα θ' ιπποδαμον, και πυξ αγαθον Πολυδευκεα,
Αυτοκασιγνητω, τω μοι μια γεινατο μητηρ.
Η ουχ εσπεσθην Λακεδαιμονος εξ ερατεινης;
Η δευρο μεν εποντο νεεσσ' ενι πουτοπορoισι,
Νυν δ' αυτ' ουκ εθελουσι μαχην καταδυμεναι ανδρων,
Αισχεα δειδιοτες και ονειδεα πολλ', α μοι εστιν;
Ως φατο· τους δ' ηδη κατεχεν φυσιζοος αια
Εν Λακεδαιμονι αυθι, φιλη ενι πατριδι γαιη.
Κηρυκες δ' ανα αστυ θεων φερον ορκια πιστα,
Αρνε δυω, και οινον εϋφρονα, καρπον αρουρης,
Ασκω εν αιγειω· φερε δε κρητηρα φαεινον
Κηρυξ Ιδαιος, ηδε χρυσεια κυπελλα·

Adnotatio.

V. 232. ξεινισσεν] Vide ad v. 207.

V. 237. πυξ αγαθον] *Seu crudo fidit pugnam committere cestu.* Æn. V. 69.

V. 242. ονειδεα πολλ', α μοι εστιν] Vide supra ad v. 173. Pulchre admodum, unde primum exorsa est, eodem infelix definit.

V. 245. οινον εϋφρονα] Εϋφρων h. l. dicitur active, *lætificum. Ern.*

V. 246.

Εξοχωτατος των Ἑλληνων εν τῳ της κεφαλης ὑψωματι, και κατα τους πλατεις ωμους; Προς τουτον δε η μακροχιτων Ἑλενη ενδοξοτατη γυναικων ανταπεκρινατο, οὑτος ὁ μεγας Αιας εστι, το περιφραγμα των Ἑλληνων. (230) Ὁ δε Ιδομενευς εκ του ἑτερου μερους εν τοις Κρησι, καθαπερ θεος ἱσταται· περι αυτον δε και οἱ των Κρητων αρχηγοι συναθροιζονται. Πολλακις δε αυτον ὁ Φιλοπολεμος εξενοδοχησε Μενελαος εν τῃ ἡμετερα οικια, ὁποτε απο της Κρητης παρεγενετο. Νυν μεν τους αλλους παντας μελανοφθαλμους Ἑλληνας βλεπω, (235) οὑς τινας δη καλως γνωριζω, και κατ' ονομα λεγοιμι· τους δε δυο διαπρεπτορας των Ἑλληνων θεασασθαι ου δυναμαι, τον ἱππικωτατον Καστορα, και τον εν τῃ πυκτῃ αγαθον Πολυδευκη, τους αυταδελφους, οὑς τινας συν εμοι μια μητηρ εγεννησεν. Η ουκ επηκολουθησαν εκ της επερατου και καλης Λακεδαιμονος; (240) Η ενταυθα μεν ηκολουθησαν συν ταις θαλασσοπλοοις ναυσι, νυν δε ου βουλονται επι τῃ μαχῃ των ανδρων επεισελθειν, τας αισχυνας φοβουμενοι και τα ονειδη ἁπινα πολλα μοι εστι; Οὑτως ειπεν ἡ Ἑλενη. τουτους δε ηδη κατειχεν ἡ το ζην φυουσα τοις ανθρωποις γη, εν τῃ Λακεδαιμονι αυτοθι, εν τῃ πατρικῃ γῃ αυτων. (245) Οἱ δε κηρυκες κατα την πολιν εφερον τα πιστα ὁρκωμοσια των Θεων, αρνας δυο, και ευφραντικον οινον, καρπον της γης, εν τῳ αιγειῳ ασκῳ· εφερε και λαμπρον κρατηρα ὁ κηρυξ απο της Ιδης, και χρυσα ποτηρια·

Adnotatio.

V. 246. καρπον αρουρης] αρουρα est γη αρουμενη, *terra culta.*

V. 247. κρητηρα φαεινον] *Cratera argenteum.*

V. 248. Κηρυξ Ιδαιος, ηδη] Licet *alias legi posset*, Ιδαιος κηρυξ, ut conjecit *Barnesius*; at languidum id valde fuisset, et invenustum.

Ωτρυνεν δε γεροντα παρισταμενος επεεσσιν·
Ορσεο, Λαομεδοντιαδη· καλεουσιν αριστοι
Τρωων θ' ἱπποδαμων και Αχαιων χαλκοχιτωνων,
Ες πεδιον καταβηναι, ἱν' ὁρκια πιστα ταμηται·
Αυταρ Αλεξανδρος και αρηΐφιλος Μενελαος
Μακρης εγχειησι μαχησοντ' αμφι γυναικι.
Τω δε κε νικησαντι γυνη και κτημαθ' ἑποιτο·
Οι δ' αλλοι, φιλοτητα και ὁρκια πιστα ταμοντες,
Ναιομεν Τροιην εριβωλακα· τοι δε νεωνται
Αργος ες ἱπποβοτον και Αχαΐδα καλλιγυναικα.
Ὡς φατο· ριγησεν δ' ὁ γερων, εκελευσε δ' ἑταιρους
Ἱππους ζευγνυμεναι· τοι δ' οτραλεως επιθοντο.
Αν δ' αρ' εβη Πριαμος, κατα δ' ἡνια τεινεν οπισσω·
Παρ δε οι Αντηνωρ πεπυκαλλεα βησατο δίφρον.
Τω δε δια Σκαιων πεδιονδ' εχον ωκεας ἱππους.
Αλλ' ὁτε δη ῥ' ἱκοντο μετα Τρωας και Αχαιους,
Εξ ἱππων αποβαντες επι χθονα πουλυβοτειραν,
Ες μεσσον Τρωων και Αχαιων εστιχοωντο.
Ωρνυτο δ' αυτικ' επειτα αναξ ανδρων Αγαμεμνων,
Αν δ' Οδυσευς πολυμητις· αταρ κηρυκες αγαυοι
Ὁρκια πιστα θεων συναγον, χρητηρι δε οινον
Μισγον· αταρ βασιλευσιν ὑδωρ επι χειρας εχευαν·
Ατρειδης δε ερυσσαμενος χειρεσσι μαχαιραν,

Adnotatio.

V. 259. ριγησεν δ' ὁ γερων] Cohorruit, præ metu et de filio dimicaturo, et de rerum ſumma.

V. 260. Ἱππους ζευγνυμεναι] Qua analogia ζευγνῦμεναι fit a ζευγνῦμι, vide *Primam hujus* Προπαρασκευης *Partem.*

V. 261.

τοις δε λογοις παραστας τον γεροντα διηγειρε, (250) διεγερθητι, ω υιε του Λαομεδοντος· καλουσι σε οι βελτιστοι των ιππικωτατων Τρωων και των σιδηροθωρακων Ἑλληνων εις το πεδιον κατελθειν, ινα πιστους ορκους ποιησητε. Ὁ δε Αλεξανδρος και ὁ Φιλοπολεμος Μενελαος τοις μακροις δορασι μαχησθωσι περι της γυναικος· (255) τωδε νικησοντι αν η γυνη και τα κτηματα ακολουθησειαν. Οι δε λοιποι, Φιλιαν και ορκους πιστους ποιησαντες, κατοικουμεν εις την μεγαλοδωλον και ευγειον Τροιαν· ουτοι δε πορευθησονται εις το ιπποτροφον Αργος, και εις την Ἑλληνιδα γην την καλας γυναικας εχουσαν. Οὑτως ειπεν. ὁ δε γερων εφοβηθη, παρεκελευσατο δε τους εταιρους (260) και τους ιππους ζευγνυναι. ουτοι δε σπουδαιως επεισθησαν. Ανεβη δε και ὁ Πριαμος, και τα λωρα οπισω εζετεινε· συν αυτω δε ὁ Αντηνωρ εν τω περικαλλει ἁρματι καθεζετο. Οὑτοι δε κατα το πεδιον επι των αριστερων μερων ηλασαν τους ταχεις ιππους. Αλλ' ὁτε δη παρεγενοντο επι τους Τρωας και τους Ἑλληνας, (265) εκ των ιππων αυτων αποβαντες επι την γην την πολλους τρεφουσαν, εις το μεσον των Τρωων και των Ἑλληνων εν ταξει επορευοντο. Ευθεως δε μετα ταυτα διεγειρετο και ὡρματο και ὁ βασιλευς των ανδρων Αγαμεμνων, διηγερθη δε και ὁ πολυβουλος Οδυσσευς. οι δε λαμπροι κηρυκες συνηγον τα ὁρκωμοσια των Θεων, τον δε οινον εν τω κρατηρι (270) ανεμιγνυον· τοις δε βασιλευσι μετα ταυτα ὑδωρ εν ταις χερσι επεχεον νιψασθαι. Ὁ δε του Ατρεως υιος εν ταις χερσι σπασαμενος και λαβων μαχαιραν,

Adnotatio.

V. 261. Αν δ' αρ' ιδη Πριαμος, κατα δ' ἡνια τεινεν οπισσω] *Interea Reges, ingenti mole Latinus Quadrijugo vehitur curru — bigis it Turnus in abbis — Hinc Pater Æneas — Et juxta Ascanius — Procedunt castris.* Æn. XII. 161.

V. 273.

Ἠ οἱ παρ ξιφεος μεγα κουλεον αιεν αορτο,
Αρνων εκ κεφαλεων ταμνε τριχας· αυταρ επειτα
Κηρυκες Τρωων και Αχαιων νειμαν αριστοις·
Τοισιν δ' Ατρειδης μεγαλ' ευχετο, χειρας ανασχων·
Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, μεγιστε,
Ηελιος θ', ὁς παντ' εφορας, και παντ' επακουεις,
Και Ποταμοι, και Γαια, και οἱ ὑπενερθε καμοντας
Ανθρωπους τινυσθον, ὁ τις κ' επιορκον ομοσση,
Ὑμεις μαρτυροι εστε, φυλασσετε δ' ὁρκια πιστα·
Ει μεν κεν Μενελαον Αλεξανδρος καταπεφνη,
Αυτος επειθ' Ελενην εχετω και κτηματα παντα,
Ἡμεις δ' εν νηεσσι νεωμεθα πουτοποροισιν·
Ει δε κ' Αλεξανδρον κτεινη ξανθος Μενελαος,
Τρωας επειθ' Ελενην και κτηματα παντ' αποδουναι,
Τιμην δ' Αργειοις αποτινεμεν ἡντιν' εοικεν,
Ἠ τε και εσσομενοισι μετ' ανθρωποισι πεληται.
Ει δ' αν εμοι τιμην Πριαμος Πριαμοιο τε παιδες
Τινειν ουκ εθελωσιν, Αλεξανδροιο πεσοντος,
Αυταρ εγω και επειτα μαχεσσομαι, εἱνεκα ποινης,
Αυθι μενων, εἱως κε τελος πολεμοιο κιχειω.

Adnotatio.

V. 273. Αρνων εκ κεφαλεων ταμνε τριχας] *Et ſummas carpens media inter cornua ſetas.* Æn. VI. 245. *et tempora ferro Summa notant pecudum.* Æn. XII. 173.

V. 276. Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, μεγιστε] *Heraclides Ponticus* citat: Ζευ κυδιστε, μεγιστε, κελαινεφες, αιθερι ναιων.

V. 277—284. Ηελιος θ'—και Ποταμοι, και Γαια—. Υμεις μαρτυροι εστε,—. Ει μεν κεν Μενελαον—. Ει δε κ' Αλεξανδρον—] *Sol, qui terrarum flammis opera omnia luſtras; — Et Diræ ultrices.* — Æn. VI. 607. *Eſto nunc Sol teſtis, et hæc mihi Terra precanti,—Et Pater Omnipotens, et tu Saturnia Juno— Fonteſque Fluvioſque voco.——*

Ceſſerit

Ητις αυτῳ πλησιον της μεγαλης ξιφοθηκης αει εκρεματο, εκ των αρνων των κεφαλων τας τριχας εκοψε· μετα ταυτα δε οι κηρυκες, οι ὑπηρεται των Τρωων και των Ἑλληνων, τοις βελτιστοις ενεμερισαν. (275) Εν τουτοις ὁ υἱος του Ατρεως μεγαλως τας χειρας ανεγειρας ηυχετο, ω Ζευ πατερ, ὁ της Ιδης βασιλευων, μεγιστε και ενδοξε, και ω Ἡλιε, ὁστις τα παντα βλεπεις και παντα ακουεις, και ω Ποταμοι, και ω Γη, και οἱτινες κατωθεν τους αποθανοντας ανθρωπους τιμωρειεσθε, ὁστις ψευδης ομωση, (280) ὑμεις εστε μαρτυρες, και τα ὁρκωμοσια πιστως φυλασσετε· εαν μεν τον Μενελαον ὁ Αλεξανδρος φονευση, αυτος εις το μετα ταυτα την Ἑλενην εχετω και παντα τα κτηματα, ἡμεις δε συν ταις θαλασσοπλοοις ἡμων ναυσι πορευθωμεν· εαν δε τον Αλεξανδρον ὁ ξανθος Μενελαος φονευση, (285) τους Τρωας μετα ταυτα Ἑλενην και παντα τα χρηματα αποδουναι, και τιμην τοις Ἑλλησιν αποδουναι ἡντινα πρεπει, ἡ τε και εν ταις μελλουσαις γενεαις και ανθρωποις ὑπαρξει. Εαν δ' εμοι ὁ Πριαμος και οἱ του Πριαμου παιδες τιμην ανταποδιδοναι ου βουλονται, φονευθεντος του Αλεξανδρου, (290) μετα ταυτα εγω ἑνεκα της αντεκτισεως και ανταποδοσεως πολεμησω ενταυθα μενων, ἑως αν του πολεμου το τελος καταλαβω.

Adnotatio.

Ceſſerit Auſonio ſi fors victoria Turno, Convenit Evandri victos diſcedere ad urbem; Cedet Iülus agris; nec poſt arma ulla rebelles Æneadæ referent, ferrove hæc regna laceſſent. Sin noſtrum annuerit nobis victoria martem, — paribus ſe legibus ambæ Invictæ gentes æterna in fœdera mittant. Æn. XII. 176 &c.

V. 278. κεκμοτας] Optime et ſignificanter exprimit id hæc vox, quod Latine dicitur, vita *functos*; pari ratione ac, Officio *functos*, Honore *functos*, Labore *functos*; et ſimilia ſiqua ſunt.

V. 279. τιτυσθον] Διϊκᾳ δε αριθμῳ κειχρηται, ειπων, Τιτυσθον· ἑστι γαρ ὁ λογος προς Πλουτωνα και Περσεφονην. *Schol.*

V. 292.

Η, και απο στομαχους αρνων ταμε νηλεϊ χαλκω·
Και τους μεν κατεθηκεν επι χθονος ασπαιροντας,
Θυμου δευομενους· απο γαρ μενος εἱλετο χαλκος·
Οινον δ' εκ κρητηρος αφυσσαμενοι δεπαεσσιν
Εκχεον, ηδ' ευχοντο θεοις αιειγενετησιν·
Ωδε δε τις ειπεσκεν Αχαιων τε Τρωων τε·

Ζευ κυδιστε, μεγιστε, και αθανατοι θεοι αλλοι,
Οπποτεροι προτεροι ὑπερ ὁρκια ωημηνειαν,
Ωδε σφ' εγκεφαλος χαμαδις ῥεοι, ὡς ὁδε οινος,
Αυτων, και τεκεων· αλοχοι δ' αλλοισι μιγειεν.
Ὡς εφαν· ουδ' αρα ω σφιν επεκραιαινε Κρονιων.
Τοισι δε Δαρδανιδης Πριαμος μετα μυθον εειπε·

Κεκλυτε μευ, Τρωες, και ευκνημιδες Αχαιοι·
Ητοι εγων ειμι προτι Ιλιον ηνεμοεσσαν
Αψ, επει ουπως τλησομ' εν οφθαλμοισιν ὁρασθαι
Μαρναμενον φιλον υἱον αρηϊφιλω Μενελαω.
Ζευς μεν που τογε οιδε και αθανατοι θεοι αλλοι,
Ὁππoτερω θανατοιο τελος πεπρωμενον εστιν·

Η ῥα, και ες δἱφρον αρνας θετο ισοθεος φως·
Αν δ' αρ' εβαιν' αυτος, κατα δ' ηνια τεινεν οπισσω·
Παρ δε οἱ Αντηνωρ περικαλλεα βησατο δἱφρον·
Τω μεν αρ' αψορροι προτι Ιλιον απονεοντο.
Ἑκτωρ δε Πριαμοιο παις και διος Οδυσσευς

Adnotatio.

V. 292. Η, και απο στομαχους αρνων ταμε] *Talibus inter se firmabant fœdera dictis, Conspectu in medio procerum ; tum rite sacratas In flammam jugulant pecudes.* Æn. XII. 212.

V. 293. επι χθονος ασπαιροντας, Θυμου δευομενους] *Exanimisque*

ΕΦη, και τω ανηλει σιδηρω απεκτεινε τους στομαχους των αρνων. Και τουτους μεν κατεθηκεν επι της γης ψυχορραγουντας, της ψυχης ενδεεις, ουτως γαρ την δυναμιν αυτοις ὁ σιδηρος ἀφειλετο. (295) Τον δε οινον εκ του κρατηρος τοις ωοτηριοις απαντλησαντες, εξεχεον, και ηυχοντο τοις αει, δια παντος, ουσι Θεοις. Ουτως δε τις ειπεν εκ τε των Ἑλληνων και των Τρωων, ω Ζευ ενδοξε και βελτιστε, και οι λοιποι αθανατοι αλλοι Θεοι, ὁπποι ωροτεροι τους ὁρκους βλαψειαν, (300) ουτως ὁ εγκεφαλος αυτων επι την γην καταῤῥευσῃ και χυθειη, ὡς ουτος ὁ οινος, αυτων, και των τεκνων αυτων. αἱ δε γυναικες αυτων αλλοις μιχθειησαν. Ουτως ειπεν. ουπω δε δη αυτοις τουτο εξεπληρωσε ὁ υἱος του Κρονου. Εν τουτοις δε ὁ του Δαρδανου ωαις Πριαμος λογον ειπεν, ακουσατε μου ω Τρωες και ω ευοπλοι Ἑλληνες, (305) ητοι εγω μεν απειμι ωρος την ὑψηλον Ιλιον εις τουπισω, επει ουδαμως καρτερησω εν τοις ὀφθαλμοις βλεπειν μαχομενον τον ωροσφιλη μου υἱον τω Φιλοπολεμω Μενελαω. Ὁ Ζευς μεν ωου τουτο γινωσκει και οἱ λοιποι αθανατοι Θεοι, ὁποιω το τελος του θανατου μεμοιραμενον εστι. (310) ΕΦη δε, και εις το ἁρμα τους αρνας εβετο ὁ ισος Θεοις ανηρ· ανεβη δε και αυτος ὁ Πριαμος, και τα λωρα οπισω κατετεινε. Παρ' αυτω δε και ὁ Αντηνωρ ὑπο το ωερικαλλες ἁρμα ανεβη. Και ουτοι μεν δη οπισθορμητοι ωρος την Ιλιον επανηρχοντο. Ὁ δε Ἑκτωρ, ὁ του Πριαμου ωαις, και ὁ ενδοξος Οδυσσευς

Adnotatio.

miſque tremens procumbit humi. Æn. V. 481.

V. 306. επει ουπως τλησομ' εν οφθαλμοισιν ὁρασθαι] *Non pugnam aſpicere hanc oculis, non fœdera poſſum.* Æn. XII. 212.

V. 315.

Χωρον μεν πρωτον διεμετρεον, αυταρ επειτα
Κληρους εν κυνεῃ χαλκηρεϊ βαλλον ελοντες,
Ὁππoτερος δη πρoσθεν αφειη χαλκεον εγχος.
Λαοι δ' ηρησαντο, θεοισι δε χειρας ανεσχον·
Ωδε δε τις ειπεσκεν Αχαιων τε Τρωων τε.
Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, μεγιστε·
Ὁππoτερος παδε εργα μετ' αμφoτερoισιν εθηκε,
Τον δος απoφθιμενον δυναι δoμον Αϊδος εισω,
Ἡμιν δ' αυ φιλoτητα και ὁρκια πιστα γενεσθαι.
Ὡς αρ' εφαν· παλλεν δε μεγας κoρυθαιoλος Ἑκτωρ,
Αψ ὁρoων· Παριος δε θoως εκ κληρος oρουσεν.
Οἱ μεν επειθ' ἱζoντo κατα στιχας, ἡχι εκαστῳ
Ἱπποι αερσιπoδες, και ποικιλα τευχε' εκειτo.
Αυταρ ὁγ' αμφ' ωμoισιν εδυσατo τευχεα καλα
Διος Αλεξανδρος, Ἑλενης πoσις ηϋκoμoιo.
Κνημιδας μεν πρωτα περι κνημῃσιν εθηκε
Καλας, αργυρεoισιν επισχυριoις αραρυιας·
Δευτερον αυ, θωρηκα περι στηθεσσιν εδυνεν
Οἱo κασιγνητoιo Λυκαoνος· ἡρμοσε δ' αυτῳ·
Αμφι δ' αρ' ωμoισιν βαλετo ξιφος αργυρoηλον,
Χαλκεον· αυταρ επειτα σακος μεγα τε στιβαρον τε·
Κρατι δ' επ' ιφθιμῳ κυνεην ευτυκτον εθηκεν,
Ἱππoυριν· δεινον δε λoφος καθυπερθεν ενευεν·

Adnotatio.

V. 315. Χωρον μεν πρωτον διεμετρεον] *Campum ad certamen, magnæ ſub mœnibus urbis, Dimenſi Rutulique viri Teucrique parabant.* Æn. XII. 116.

V. 316. Κληρους εν κυνεῃ χαλκηρεϊ] *Convenere viri, dejectamque ærea ſortem Accepit galea.* Æn. V. 490.

V. 330. Κνημιδας μεν πρωτα, &c.]

(315) τον τοπον μεν πρωτον διεμετρησαν· μετα ταυτα δε τους κληρους λαβοντες εν τη σιδηρω και χαλκω ευηρμοσμενη περικεφαλαια εκινουν, οποιος δη προτερος πεμψειε τω σιδηρω ηρμοσμενον δορυ. Οι δε οχλοι ηυξαντο, και τοις Θεοις τας χειρας ανετεινον. Ουτως δε τις ειπεν εκ τε των Ελληνων και των Τρωων, (320) ω πατερ, ω Ζευ, ο της Ιδης βασιλευων, ενδοξε, βελτιστε, οπιος ταυτα τα εργα εν αμφοτεροις ειργασατο, τουτον δος αποθανοντα εις το οικημα του Αιδου ελθειν, ημιν δε φιλιαν και πιστους ορκους γενεσθαι. Ουτως ειπεν. εκινει δε την περικεφαλαιαν ευκινητον εχων ο μεγας Εκτωρ, (325) εις τουπισω βλεπων· ο δε του Αλεξανδρου κληρος ταχεως εξωρμα. Ουτοι μεν μετα ταυτα επι τας εαυτων ταξεις εκαθεζοντο, οπου εκαστω οι ταχεις ιπποι ισταντο, και τα ποικιλα εκειντο οπλα. Ουτος δε εν τοις ωμοις περιεβαλετο τα οπλα τα καλα, ο ενδοξος Αλεξανδρος, ο ανηρ της καλλικομου Ελενης. (330) Πρωτον μεν σιδηρα υποδηματα εν ταις κνημαις αυτου εθηκε καλα, επι τοις αργυρεοις αστραγαλοις αυτου ευ ηρμοσμενα. Εκ δευτερου θωρακα εν τοις στηθεσι αυτου ενεδυσατο του ιδιου αδελφου του Λυκαονος, αρμοδιον δε αυτω εγενετο. Εν δε τοις ωμοισι αυτου και το αργυρους ηλους εχον ξιφος περιεβαλετο (335) το σιδηρουν. μετα ταυτα δε την ασπιδα αυτω την μεγαλην και ισχυραν. Επι δε τη ισχυρα αυτου κεφαλη κεφαλαιαν ευκατασκευαστον εθηκε, την εξ ιππειων τριχων, φοβερον δε ο λοφος υπερανωθεν ενευεν.

Adnotatio.

&c] *Rutulum thoraca indutus ahenis Horrebat ſquamis, ſuraſque incluſerat auro;—laterique accinxerat enſem.* Æn. XI. 487.

V. 333. ηρμοσε δ' αυτω] *Habilis lateri clypeus, loricaque tergo eſt.* Æn. XII. 432.

V. 337. Ιππουριν· δεινον δε λοφος] *Ære caput fulgens, criſtaque hirſutus equina.* Æn. X. 869.

V. 338.

Εἵλετο δ' αλκιμον ἐγχος, ὁ οἱ παλαμηφιν ἀρηρει·
Ὡς δ' αὐτως Μενελαος ἀρηϊος ἐπτ' ἐδυνεν.
Οἱ δ' ἐπει οὐν ἑκατερθεν ὁμιλου θωρηχθησαν,
Ες μεσσον Τρωων καὶ Αχαιων ἐστιχοωντο,
Δεινον δερκομενοι· θαμβος δ' ἐχεν εἰσοροωντας
Τρωας θ' ἱπποδαμους, καὶ εὐκνημιδας Αχαιους.
Καὶ ῥ' ἐγγυς στητην, διαμετρητῳ ἐνι χωρῳ,
Σειοντ' ἐγχεἰας, αλληλοισιν κοτεοντε.
Προσθε δ' Αλεξανδρος πορὁιει δολιχοσκιον ἐγχος,
Καὶ βαλεν Ατρειδαο κατ' ασπιδα παντοσε ἰσην,
Ουδ' ἐρρηξεν χαλκον, ἀνεγναμφθη δε οἱ αιχμη
Ασπιδι ἐν κρατερῃ· ὁ δε δευτερος ὡρνυτο χαλκῳ
Ατρειδης Μενελαος, ἐπευξαμενος Διϊ πατρι·
Ζευ ἀνα, δος πισασθαι, ὁ με προτερος κακ' ἐοργε,
Διον Αλεξανδρον, καὶ ἐμῃς ὑπο χερσι δαμασσον·
Οφρα τις ἐρρἰγῃσι καὶ ὀψιγονων ἀνθρωπων,
Ξεινοδοκον κακα ῥεξαι, ὁ κεν Φιλοτητα παρασχῃ.
Ἠ ῥα, καὶ ἀμπεπαλων πορὁιει δολιχοσκιον ἐγχος,
Καὶ βαλε Πριαμιδαο κατ' ασπιδα παντοσε ἰσην.
Δια μεν ασπιδος ηλθε φαεινης ὀμβριμον ἐγχος,
Καὶ δια θωρηκος πολυδαιδαλου ἠρηρειστο·
Αντικρυ δε παραι λαπαρην διαμησε χιτωνα

Adnotatio.

V. 338. αλκιμον ἐγχος] *Validam haſtam.* Æn. X. 401.

V. 347. Καὶ βαλεν Ατρειδαο κατ' ασπιδα,—Ουδ' ἐρρηξεν χαλκον] *Rauco quod protinus ære repulſum, Et ſummo clypei nequicquam umbone pependit.* Æn. II. 545.

V. 353. πορὁιει δολιχοσκιον ἐγχος — Δια μεν ασπιδος ηλθε,— Καὶ δια θωρηκος] *Haſtam jacit: illa per orbem Ære cavum triplici,*

Ελαβε δε και το ισχυρον αυτου δορυ, ὁπερ εν ταις χερσι αυτου αρμοδιον ην. Ουτως δη ὁμοιως ὁ πολεμικος Μενελαος τα ὁπλα αυτου ενεδυσατο. (340) Ουτοι δε επει ουν εκ του ἑκατερου οχλου καθωπλισαντο, εις το μεσον των Τρωων και των Ἑλληνων εν ταξει επορευοντο, δεινον εις αλληλους βλεποντες· καταπληξις δε κατειχε τους βλεποντας τους τε ἱππικωτατους Τρωας και τους ευοπλους Ἑλληνας. Και δη εν τω μεμετρημενω τοπω εγγυς αλληλων εστησαν, (345) τα δορατα αυτων σειοντες, και εν αλληλοις ὀργιζομενοι. Προτερος δε ὁ Αλεξανδρος προεπεμψε το μακροπορευτον δορυ, και εβαλεν τον υἱον του Ατρεως κατα την πανταχοθεν ισην ασπιδα, ουδαμως δε εν τη ασπιδι χαλκον διεκοψεν, ἡ δε επιδορατις αυτω ανεκαμφθη εν τη ισχυρα ασπιδι. ουτος δε δευτερος ὡρματο τω σιδηρω (350) ὁ υἱος του Ατρεως Μενελαος, τω πατρι των Θεων Διι επευξαμενος, ω Ζευ βασιλευ, παρασχε τιμωρησασθαι, ὁς εις εμε προτερον κακα ειργασατο, τον ενδοξον Αλεξανδρον, και ὑπο ταις εμαις χερσι Φονευσον, ὁπως τις Φοβηθη και των μεταγενεστερων ανθρωπων, επι τον ξενοδοχον αυτου πραξαι κακα, ὁστις Φιλιαν παρασχη. (355) Εφη δε, και σειων και κινων προεπεμψε το μακροπορευτον δορυ, κατα δε την πανταχοθεν ισην ασπιδα του υἱου του Πριαμου το δορυ εβαλε. Και δια μεν της λαμπρας ασπιδος εισηλθεν το ισχυρον δορυ, και δια του ποικιλου θωρακος ενηρμοσθη και ενεπαγη. Εξ εναντιας δε δι' ὁλου διελθων πλησιον της λαπαρας διεκοψε τον χιτωνα

Adnotatio.

plici, per linea terga, tribuſque Tranſiit intextum tauris opus. Æn. X. 783.

V. 356. Πριαμιδαο] In quibuſdam vocabulis, ubi breves tres ſyllabæ concurrunt, prima euphoniæ gratia producitur.

V. 357. Δια μεν ασπιδος ηλθε] Rapidiſſimum haſtæ tranſitum pulcherrime et ζωγραφικως depingit Verſus, a brevibus ſtatim exorſus ſyllabis tribus.

V. 363.

Εγχος· ὁ δ' εκλινθη, και αλευατο κηρα μελαιναν·
Ατρειδης δε ερυσσαμενος ξιφος αργυροηλον,
Πληξεν ανασχομενος κορυθος φαλον· αμφι δ' αρ' αυτῳ
Τριχθα τε και τετραχθα διατρυφεν εκπεσε χειρος.
Ατρειδης δ' ωμωξεν, ιδων εις ουρανον ευρυν·
Ζευ πατερ, ουτις σειο θεων ολοωτερος αλλος·
Η τ' εφαμην τισεσθαι Αλεξανδρον κακοτητος·
Νυν δε μοι εν χειρεσσ' εαγη ξιφος· εκ δε μοι εγχος
Ηιχθη παλαμηφιν ετωσιον, ουδ' εβαλον μιν.
Η, και επαϊξας, κορυθος λαβεν ἱπποδασειης,
Ἑλκε δ' επιστρεψας μετ' ευκνημιδας Αχαιους·
Αγχε δε μιν πολυκεστος ἱμας ἀπαλην ὑπο δειρην,
Ὁς οἱ ὑπ' ανθερεωνος οχευς τετατο τρυφαλειης.
Και νυ κεν ειρυσσεν τε, και ασπετον ηρατο κυδος,
Ει μη αρ' οξυ νοησε Διος θυγατηρ Αφροδιτη,
Ἡ οἱ ρηξεν ἱμαντα βοος ἰφι κταμενοιο·
Κενη δε τρυφαλεια ἁμ' ἑσπετο χειρι παχειη.
Την μεν επειθ' ἡρως μετ' ευκνημιδας Αχαιους
Ῥιψ' επιδινησας, κομισαν δ' εριηρες ἑταιροι.
Αυταρ ὁ αψ επορουσε κατακταμενα μενεαινων

Adnotatio.

V. 363. Τριχθα τε και τετραχθα διατρυφειν εκπεσε] *Perfidus enſis Frangitur, in medioque ardentem deſerit ictu.* —— *mucro, glacies ſeu futilis, ictu Diſſiluit ; fulva reſplendent fragmina arena.* Æn. XII. 731, 740. Non aſſequutus eſt, hoc in loco, *Homeri* artem *Virgilius*. Nam, ut ait *Euſtathius*, in hoc verſu ειποις αν σιδηρον θραυομενου ακουειν· τοιουτον γαρ τινα ηχον ἡ των λιξιων ὑπηχει τραχυτης, επιτηδεις ουτω φραζοντος του ποιητου, ονοματοποιιας τροπῳ. Sunt qui hoc in verſu, pro διατρυφειν, legant διατρυφθειν. Cæterum innumeris in locis Poetam verſus ſui numeros; verborumque ipſorum Sonum

(360) το δορυ· ουτος δε διεκλιθη, και την θανατηφορον εξεφυγε μοιραν. Ὁ δε υἱος του Ατρεως ελκυσας το αργυρους ηλους εχον ξιφος, ανατεινας το προμετωπιδιον της περικεφαλαιας επληξε· παρα δε αυτον το δορυ εις τρια και τεσσαρα διακλασθεν της χειρος αυτου εξεπεσεν. (365) Ὁ δε υἱος του Ατρεως εις τον πλατυν ουρανον θεασαμενος εστεναξε και ειπεν, ω πατερ Σευ, ουδεις των Θεων ολεθροποιοτερος αλλος σου εστιν. Ουτως δη ελογισαμην ενεκα της κακιας αυτου τον Αλεξανδρον αντιτιμωρησασθαι· νυν δε εν ταις χερσι μου το ξιφος κατεκλασθη· και το δορυ μου ωρμηθη ματαιον εκ της παλαμης μου, ουδαμως δε αυτον εβαλον. Εφη, και εφορμησας, εκ της περικεφαλαιας της εξ ἱππειων τριχων δασειας επελαβετο. (370) Επιστρεψας δ' αυτον ειλκεν επι τους καλας κνημιδας εχοντας Ἑλληνας· Απεπνιξε δε αυτον ὁ πολυκεντητος λωρος ὑπο τον ἁπαλον τραχηλον, ὁστις αυτῳ ὑποκατω του ὑπογενειου συνδεσμος της περικεφαλαιας εξηπλωτο. Και δη ανειλκυσεν αυτον, και μεγαλην δοξαν ελαβε, εαν μη ταχεως ενοησεν ἡ του Διος θυγατηρ Αφροδιτη, (375) ἡτις αυτῳ διερρηξε του εν ισχυϊ αποκταντος βοος τον λωρον. Κενη δε η περικεφαλαια ὁμως τῃ ισχυρᾳ χειρι ηκολουθησεν. Και αυτην μεν μετα ταυτα ὁ ἡμιθεος επι τους ευοπλους Ἑλληνας συστρεψας ερριψεν, ελαβον δε αυτην οἱ ευαρμοστοι Φιλοι μετα ταυτα δε ουτος εφορμησε φονευσαι προθυμουμενος τον Αλεξανδρον

Adnotatio.

Sonum (vide jam ſupra ad v. 357,) ad rei dicendæ naturam quaſi ζωγραφικως εκτετυπωμενην exegiſſe, notiſſimum eſt.

V. 371. πολυκεντος ἱμας ἁπαλην ὑπο δειρην] Ad perſonam quam convenientiſſime.

V. 375. ἱμαντα βοος ιφι κτα-

μενοιο] Των γαρ μη νοσῳ μηδε γηρᾳ διαλυομενων, αλλ' ὑπο σφαγης, ευτονον το δερμα και γυφιον [fortaſſe συφιον] γινεσθαι. τα δε ὑπο θηριων δηχθεντα, — και τοις δερμασι φλιδας και ῥακουσθαι. *Plutarch. Symposiac. Lib. II. Probl.* 9.

V. 380.

Εγχεϊ χαλκειῳ· τον δ' εξηρπαξ Αφροδιτη,
Ῥεια μαλ', ὡστε θεος· εκαλυψε δ' αρ' ηερι πολλῃ.
Καδ δ' εισ' εν θαλαμῳ ευωδεϊ, κηωεντι.
Αυτη δ' αυθ' Ἑλενην καλεσυσ' ιε· την δ' εκιχανε
Πυργω εφ' ὑψηλῳ· περι δε Τρωαι ἁλις ησαν·
Χειρι δε νεκταρεου εανου επιναξε λαβουσι·
Γρηϊ δε μιν εικυια παλαιγενεϊ προσεειπεν
Ειροκομῳ, ἡ οἱ Λακεδαιμονι ναιεταασκη
Ησκειν ειρια καλα, μαλιστα δε μιν Φιλεεσκε·
Τῃ μιν εεισαμενη προσεφωνεε δι' Αφροδιτη.
Δευρ' ιθ'· Αλεξανδρος σε καλει οικονδε νεεσθαι·
Κεινος ὁγ' εν θαλαμῳ και δινωτοισι λεχεσσι,
Καλλεϊ τε στιλβων και ειμασιν, ουδε κε φαιης
Ανδρι μαχεσσαμενον τονγ' ελθειν, αλλα χορονδε
Ερχεσθ', ηε χοροιο νεον ληγοντα καθιζειν.
Ὡς φατο· τῃ δ' αρα θυμον ενι στηθεσσιν ορινε.
Και ῥ' ὡς ουν ενοησε θεας περικαλλεα δειρην,
Στηθεα θ' ἱμεροεντα, και ομματα μαρμαιροντα,
Θαμβησεν τ' αρ' επειτα, επος τ' εφατ', εκ τ' ονομαζε·

Adnotatio.

V. 380. Εγχεϊ χαλκειῳ.] Ὁτι δε επι των ἡρωων τα ὁπλα ὁμοιως χαλκα ην παντα, μαρτυρει μοι και Ὁμηρος —. Βεβαιοι δε και αλλως μοι τον λογον, εν Φασηλιδι ανακειμενον, εν Αθηνας ἱερῳ, το δορυ Αχιλλεως. και Νικομηδευσιν, Ασκληπιου ναῳ, μαχαιρα ἡ Μιθριδατους. Και του μεν ἡ τε αιχμη και ὁ σαυρωτηρ, ἡ μαχαιρα δε και δια πασης, χαλκου πεποιηται. Ταυτα μεν δη ισμεν εχοντα ουτως. *Pauſan. Laconic. lib.* 3. *c.* 3. *Clark.*

Ibid. τον δ' εξηρπαξ' Αφροδιτη.] Itaque fœdus deinceps fractum

(380) Τῳ σιδηρῳ δορατι. τουτον δε ἡ Αφροδιτη εξηρπασε, λιαν ευκολως, ὡς ωρεπει θεον ἁρπαζειν. εκαλυψε δε αυτον ωολλη αορασια· εκαθισε δε αυτον εν τῳ αυτου κοιτωνι ευωδει και τεθυμιασμενῳ. Αυτη δε δη την Ἑλενην θελουσα καλεσαι επορευθη· ταυτην δε κατελαβε επι τῳ ὑψηλῳ ωυργῳ· περι αυτην δε και Τρωϊκαι γυναικες δαψιλως ὑπηρχον. (385) Τῃ δε χειρι αυτης εκ του αφθαρτου και λαμπρου ἱματιου επιλαβομενη ετιναξε. Γραϊ δε εκπαλαι γεγενημενῃ ὁμοιωθεισα ωρος αυτην ειπε τῃ τα ερια επιμελουμενῃ και εργαζομενῃ, ἥτις αυτῃ εν τῃ Λακεδαιμονι κατοικουσῃ κατεσκευασε τα καλα ερια, και μαλιστα αυτην ηγαπα. Ταυτῃ ὁμοιωθεισα ωρος αυτην ειπεν η ενδοξος Αφροδιτη, (390) Δευρο ωορευθητι· ὁ Αλεξανδρος σε καλει εις τον οικον εισελθειν. Εκεινος δη ουτος εν τῳ θαλαμῳ αυτου και ταις ωοικιλαις κοιταις, τῳ καλλει αποστιλβων και τοις ἱματιοις· και εαν τε αυτον θεασῃ, ουκ αν ειποις ανδρι μαχησαμενον τουτον ελθειν, αλλ' επι χορον ὑπερχεσθαι, η εκ του χορου νεωστι καταπαυθεντα καθεζεσθαι. (395) Ουτως ειπε. ταυτῃ δε την ψυχην εν τοις στηθεσι διεταραξε. Και δη ῥ' ουν ενοησε τον ωεριαλλη τραχηλον της θεας, τα τε στηθη αυτου τα επιθυμητα, και τους λαμπρους οφθαλμους, εξεπλαγη. μετα ταυτα δε λογον ειπε, και δι' ονοματος εκαλες·

Adnotatio.

fractum eo prætextu, quod *evaſerit* ſcilicet, nec *interfectus* fuerit *Paris*.

V. 291. Κεινος ὁγ—', Καλλεϊ τε ϛιλβων και ἱμασιν] *Et nunc ille Paris —Mæonia mentum mitra crinemque madentem Subnaxus.* Æn. IV. 215.

V. 392. Καλλει τε ϛιλβων] *Athenæus* interpretatur, Μυρους αλειφομενος, *Lib.* 1. *cap.* 15.

V. 396. Θεας περικαλλεα δερην] *Avertens, roſea cervice refulſit.* Æn. I. 406.

V. 398. ἐκ τ' ονομακλι] *Nomine clamat.* Æn. IV. 674.

V. 400.

Δαιμονιη, τι με ταυτα λιλαιεαι ηπεροπευειν;
Η πη με προτερω πολιων ευ ναιομεναων
Αξεις, η Φρυγιης, η Μηονιης ερατεινης,
Ει τις τοι και κειθι φιλος μεροπων ανθρωπων;
Ουνεκα δη νυν διον Αλεξανδρον Μενελαος
Νικησας εθελει στυγερην εμε οικαδ' αγεσθαι,
Τουνεκα δη νυν δευρο δολοφρονεουσα παρεστης;
Ησο παρ' αυτον ιουσα, θεων δ' απειπε κελευθους·
Μηδ' ετι σοισι ποδεσσιν υποστρεψειας Ολυμπον,
Αλλ' αιει περι κεινον οϊζυε, και ε φυλασσε,
Εισοκε σ' η αλοχον ποιησεται, η ογε δουλην.
Κεισε δ' εγων ουκ ειμι, νεμεσσητον δε κεν ειη,
Κεινου πορσυνεεσθαι λεχος· Τρωας δε μ' οπισσω
Πασαι μωμησονται· εχω δ' αχε' ακριτα θυμω.

Την δε χολωσαμενη προσεφωνεε δι' Αφροδιτη·
Μη μ' ερεθε, σχετλιη· μη χωσαμενη σε μεθειω,
Τως δε σ' απεχθηρω, ως νυν εκπαγλ' εφιλησα·
Μεσσω δ' αμφοτερων μητισσομαι εχθεα λυγρα

Adnotatio.

V. 400. Η πη μι] Non interrogativum eſt πη, ſed H. ſcilicet *η num πη πολιων in aliquam urbem.*

V. 404. στυγερην εμε] Optimo artificio *Helenem* ſemper inducit dedecus ſuum profitentem.

V. 405. δολοφρονεουσα] *Simulata mente locutum.* Æn. IV. 105.

V. 409. Εισοκε σ' η αλοχον ποιησεται, η ογε δουλην] Vox, ογε, nequaquam hic ſupervacanea eſt, ſed elegantiſſimam tum in Græco tum in Latino ſermone emphaſin habet, quam linguæ recentiores prorſus ignorant. *Odyſſ.* β', 326. Η τινας εκ Πυλου αξει αμυντορας ημαθοεντος, Η ογε και Σπερχηθην. Item *Heſiodus*, Εργ. Ημερ. I. 224, Η των γε στερκτον ενεγκειν απωλεσεν, η ογε τειχος· et 320, Ει γαρ

Ω κακοδαιμονια, τι εμε ταυτα προθυμη εξαπατᾳν; (400) Αρα δη που εμε πορρωτερω των υπαρχουσων πολεων καλως οικουμενων βουλη απαγαγειν, επι της Φρυγιας, η Λυδιας της επεραστου; Εαν τις κακεισε υπαρχει Φιλος εκ των μεμερισμενην της Φωνην εχοντων ανθρωπων. Διοτι δη αρτιως τον ενδοξον Αλεξανδρον ὁ Μενελαος νικησας, βουλεται με την μισητην εις τον οικον αυτου διαγαγειν, (405) τουτου χαριν δη ενταυθα δολια Φρονουσι παρεστης μοι; Πορευθεισα τωλησιον αυτου καθεσθεισης, και απαρνησαι των Θεων τας οδους. Μηδε ετι τοις σοις τωσι εις τον Ολυμπον ὑποστρεψειας. Αλλ' αει παρ' εκεινον ταλαπωρει, και αυτον φυλαττε, εως σὺ σε η γυναικα ποιησηται, ειτε δουλην. (410) Εκεισε δε εγω ου πορευσομαι. (μεμπτεον γαρ τουτο εστι.) Κεινου θελουσι την κοιτην ευτρεπισαι· αἱ γαρ Τρωικαι γυναικες μετα ταυτα οπισθεν ἁπασαι μεμψονται. εχω δε λυπας αδιαχωριστους και πολλας εν τη ψυχη. Προς ταυτα δε οργισθεισα ειπεν ἡ ενδοξος Αφροδιτη, μη με παρωξυνε, ω κακη, μηπως οργισθεισα σε καταλειψω, (415) ουτως δε σε μισησω καθως σε νυν δ' εξοχως ηγαπησα. Μεσον δ' αμφοτερων βουλευσομαι μισην χαλεπα

Adnotatio.

γαρ τις και χερσι βιη μιγαν ολεσσεν ἑλκηται, Η ὀγ' απο γλωσσης λιϊσσηται. Similiter *Virgilius: Præcipitemque Daren ardens agit æquore toto, Nunc dextra ingeminans ictus, nunc* Ille *finiſtra.* Item *Horatius: —nec dulces amores Sperne puer, neque* Tu *choreas. Carm. lib.* I. *Od.* 9. Et *Seneca: — ſive me altorem vocas, Seu Tu parentem —. Herc. Fur.* v. 1248. Non hæc verſus gratia intruſa; ſed ſingularem habent et in Græca lingua, et in Romana, elegantiam. *Clark.* Hæc ſumpta ſunt e Bentleii nota ad Horat. Carm. I. 9. Plura diximus ad Callim. H. in Dian. 115. ubi hanc vocem Callimacho e MSS. et edd. vett. reſtituimus, pro qua irrepſerat ἡ ὁτι. *Ern.*

Τρωων και Δαναων· συ δε κεν κακον οιτον οληαι.
Ὡς εφατ'· εδδεισεν δ' Ἑλενη Διος εκγεγαωια.
Βη δε κατασχομενη εανῳ αργητι φαεινῳ,
Σιγη· ϖασας δε Τρωας λαθεν· ηρχε δε δαιμων.
Αι δ' ὁτ' Αλεξανδροιο δομον ϖερικαλλε' ικοντο,
Αμφιπολοι μεν επειτα θοως επι εργα τραπεντο·
Ἡ δ' εις ὑψοροφον θαλαμον κιε δια γυναικων·
Τῃ δ' αρα δίφρον ἑλουσι φιλομμειδης Αφροδιτη,
Αντι' Αλεξανδροιο θεα κατεθηκε φερουσα·
Ενθα καθιζ' Ἑλενη, κουρη Διος αιγιοχοιο,
Οσσε ϖαλιν κλινασα, ϖοσιν δ' ηνιπαπε μυθῳ·
Ηλυθες εκ ϖολεμου· ὡς ὠφελες αυτοθ' ολεσθαι,
Ανδρι δαμεις κρατερῳ, ὁς εμος ϖροτερος ϖοσις ην.
Η μεν δη ϖριν γ' ευχε' αρηϊφιλου Μενελαου,
Σῃ τε βιῃ, και χερσι, και εγχεϊ, φερτερος ειναι·
Αλλ' ἰθι νυν ϖροκαλεσσαι αρηϊφιλον Μενελαον,
Εξαυτις μαχεσασθαι εναντιον· αλλα σ' εγωγε
Παυσασθαι κελομαι, μηδε ξανθῳ Μενελαῳ
Αντιβιον ϖολεμον ϖολεμιζειν, ηδε μαχεσθαι
Αφραδεως, μηπως ταχ' ὑπ' αυτου δουρι δαμειης.
Την δε Παρις μυθοισιν αμειβομενος ϖροσεειπε·
Μη με, γυναι, χαλεποισιν ονειδεσι θυμον ενιπτε.
Νυν μεν γαρ Μενελαος ενικησεν συν Αθηνῃ·

Adnotatio.

V. 432. ἰθι νυν ϖροκαλεσσαι] Sic apud *Martialem: I, fuge: ſed poteris tutior eſſe domi.*

V. 433. αλλα σ' εγωγε Παυσασθαι] Προσποιειται δε και κηδισθαι αυτου, κολακευτικωτερον δια φοβον δηλαδη, εν οις φησιν, Αλλα σε κελομαι ϖαυσασθαι, inquit *Euſtathius.* Videtur tamen hoc mihi, non aſſentandi,

των Τρωων και των Ἑλληνων· συ δε ὑπο κακου θανατου διαφθαρης. Οὑτως ειπεν. εφοβηθη δε εκ του Διος γενηθεισα Ἑλενη. Επρευθη δε καταλυψαμενη τῳ λαμπρῳ σκεπασματι, (420) εν σιωπῃ· πασας δε Τρωϊκας γυναικας ελαθε, προεπορευετο δε ἡ θεα. Αὑτας δ' ὁτε του Αλεξανδρου εις οικον τον περικαλλη παρεγενοντο, αἱ μεν δουλαι μετα ταυτα ταχεως επι τα εργα επηλθον. Ἡ δε Ἑλενη η ενδοξοτατη των γυναικων εις τον ὑψηλοτερον θαλαμον επρευετο. Ταυτῃ δε φιλοχελως Αφροδιτη λαβουσα τον θρονον, (425) ἡ θεα εξ εναντιας Αλεξανδρου φερουσα κατεθηκε, εκεισε δε ἡ Ἑλενη η θυγατηρ του Αιγιοχου Διος εκαθεσθη, τους οφθαλμους εις τουπισθεν στρεψασα· τον δε ανδρα αυτου λογῳ επεπληξε, παρεγενου εκ του πολεμου· και ειθε ωφελες αυτοθι απολεσθαι, ὑπο του ισχυρου ανδρος δαμασθεις, ὁστις εμοι προτερος ὑπηρχεν ανηρ. (430) Οντως μεν δη προτερον εκαυχω του φιλοπολεμου Μενελαου, τῃ σῃ δυναμει, και ταις χερσι, και τῳ δορατι κρειτ̃ων ειναι· αλλ' απθι, αρτιως προσκαλεσαι τον φιλοπολεμον Μενελαον, εκ δευτερου πολεμησαι εξ εναντιας. αλλα εγω σε παυσασθαι παρακελευομαι, μηδε τῳ ξανθῳ Μενελαῳ (435) πολεμον πολεμειν εξ εναντιας και μαχεσθαι, ασυνετως, μη ποτε ταχεως ὑπ' αυτου τῳ δορατι δαμασθῃς. Προς ταυτην δε ὁ Αλεξανδρος ανταποκρινομενος προσειπε, μηδαμως με, ω γυναι, λυπει μου την ψυχην τοις χαλεποις ονειδεσι. Αρτιως μεν δη ὁ Μενελαος ενικησε συν τῃ Αθηνᾳ·

Adnotatio.

di, ſed ignaviam exprobandi cauſa dictum. Hoc enim eſt quod reſpondet Paris, v. 438. Μη με χαλεποισιν ονειδεσι θυμον ενιπτε.

V. 434. Παυσασθαι πολεμοιο μηδε — πολεμιζειν] *Deſiſte manum committere Teucris.* Æn. XII. 60.

V. 450.

Κεινον δ' αυτις εγω· παρα γαρ θεοι εισι και ημιν.
Αλλ' αγε δη Φιλοτητι τραπειομεν ευνηθεντε.
Ου γαρ πω ποτε μ' ωδε ερως φρενας αμφεκαλυψεν,
Ουδ' οτε σε προτερον Λακεδαιμονος εξ ερατεινης
Επλεον αρπαξας εν ποντοπορoισι νεεσσι,
Νησω δ' εν Κραναη εμιγην Φιλοτητι και ευνη·
Ως σεο νυν εραμαι, και με γλυκυς ιμερος αιρει.
Η ρα, και αρχε λεχοσδε κιων, αμα δ' ειπετ' ακοιτις.
Τω μεν αρ' εν τρητοισι κατευνασθην λεχεεσσιν.
Ατρειδης δ' αν' ομιλον εφοιτα, θηρι εοικως,
Ει που εσαθρησειεν Αλεξανδρον θεοειδεα.
Αλλ' ουτις δυνατο Τρωων κλειτων τ' επικουρων
Δειξαι Αλεξανδρον τοτ' αρηϊφιλω Μενελαω·
Ου μεν γαρ Φιλοτητι γ' εκευθανον, ει τις ιδοιτο.
Ισον γαρ σφιν πασιν απηχθετο κηρι μελαινη.
Τοισι δε και μετεειπεν αναξ ανδρων Αγαμεμνων·
Κεκλυτε μευ, Τρωες, και Δαρδανοι, ηδ' επικουροι·
Νικη μεν δη φαινετ' αρηϊφιλου Μενελαου·
Τμεις δ' Αργειην Ελενην και κτηματ' αμ' αυτη
Εκδοτε, και τιμην αποτινεμεν, ηντιν' εοικεν,
Η τε και εσσομενοισι μετ' ανθρωποισι πεληται.
Ως εφατ' Ατρειδης, επι δ' ηνεον αλλοι Αχαιοι.

Adnotatio.

V. 450. Ει που εσαθρησειεν] *Vestigat lustrans, solum in certamina poscit.* Æn. XII. 466. *Solum densa in caligine Turnum*

(440) Εκεινον δε παλιν ου νικησω εγω· παρεισι γαρ θεοι και ημιν βοηθοι. Αλλ' αγε δη κοιμηθεντες εις φιλιαν τραπωμεν. Ου γαρ πωποτε εμε ουτως κατα την διανοιαν περιεκρατησε ὁ ερως, ουδ' ὁποτε σε πρωτον εκ της επιθυμητης Λακεδαιμονος ἁρπαξας, ταις θαλασσοπλοοις νηυσιν επλεον, (445) εν δε τη τραχειᾳ νησῳ εμιγην τη Φιλιᾳ και συνουσιᾳ· καθως νυν σου επιθυμω, και εμε επιθυμια καταλαμβανει. ΕΦη δε, και προηγειτο επι την κοιτην, ὁμου δε ηκολουθησεν και ἡ γυνη. Και ουτοι μεν δη εν τοις καλως τετρυπημενοις κατεκοιμηθησαν κοιτωσι. Ὁ δε υἱος του Ατρεως κατα το πληθος ὡρμα θηρι ὁμοιουμενος, (450) εαν ποτε θεασηται τον τοις Θεοις ὁμοιον Αλεξανδρον. αλλ' ουκ εδυνατο τις των Τρωων, η των ενδοξων συμμαχων, δειξαι τοτε τον Αλεξανδρον τῳ Φιλοπολεμῳ Μενελαῳ. Ου γαρ Φιλιᾳ αυτον εκρυπτον, εαν τις ἐθεασατο. Εξ ισου γαρ πασιν αυτοις εμισειτο τη θανατηΦορῳ μοιρᾳ και μελαινη. (455) Εν τουτοις δε προσειπεν ὁ βασιλευς των ανδρων Αγαμεμνων, ακουσατε μου ω Τρωες, και του Δαρδανου απογονοι, και συμμαχοι· ἡ μεν νικη του Φιλοπλεμου Μενελαου Φανερα εστι, ὑμεις δε, ω Τρωες, την Πελοποννησιακην Ἑλενην και τα κτηματα μεθ' αυτης αποδοτε, και τιμην αποτισατε τοις Ἑλλησι ἡντινα και πρεπον εστι, (460) ἡτις και εν τοις μελλουσι γενεσθαι ὑπαρξει ανθρωποις και ακουσθησεται. Ουτως ειπεν ὁ υἱος του Ατρεως, επηνουν δε οἱ λοιποι Ἑλληνες τον λογον.

EXCERPTA E DUOBUS

GRÆCIS HOMERI PROSAICIS VERSIONIBUS

Altera PARAPHRASI, altera METAPHRASI, quæ extant in codicibus MSS. Bodleianis,

collata cum

PLATONICA

Ejuſdem loci Enarratione.

Accedit excerptum

E JOANNIS TZETZIS Metrica Paraphraſi inedita,

Quo continetur ejuſdem loci Expoſitio;

Et alterum copioſius, quod complectitur integrum hujus Metaphraſeos procœmium.

ILIADIS LIBRI PRIMI

Locus, qui incipit a Verſu octodecimo.

Ατρειδαι τε και αλλοι ευκνημιδες Αχαιοι
Υμιν μεν θεοι δοιεν ολυμπια δωματ' εχοντες
Εκπερσαι Πριαμοιο πολιν, ευ δ' οικαδ' ικεσθαι·
Παιδα δε μοι λυσαιτε Φιλην, τα δ' αποινα δεχεσθε,
Αζομενοι Διος υιον εκηβολον Απολλωνα. 5
Ενθ' αλλοι μεν παντες επευφημησαν Αχαιοι,
Αιδεισθαι θ' ιερηα, και αγλαα δεχθαι αποινα·
Αλλ' ουκ Ατρειδη Αγαμεμνονι ηνδανε θυμω·
Αλλα κακως αφιει, κρατερον δ' επι μυθον ετελλε·
Μη σε, γερον, κοιλησιν εγω παρα νηυσι κιχειω 10
Η νυν δηθυνοντ', η υστερον αυτις ιοντα,
Μη νυ τοι ου χραισμη σκηπτρον και στεμμα θεοιο.

II.

PARAPHRASIS.

Ω Ατρειδαι τε και αλλοι Αχαιοι πολεμισται· υμιν μεν ειθε δοιεν οι θεοι οι οικουντες τα ουρανια οικηματα, εκπορθησαι μεν την πολιν του Πριαμου, καλως δε απελθειν εις τον εαυτου οικον εκαστον. εμοι δε την παιδα την Φιλην λυσατε, τα δ' αποινα δεξασθε, (5) ευλαβουμενοι τον υιον του Διος πορρωθεν τοξευοντα Απολλωνα, ου ιερευς εγω. ὁτε οι αλλοι μεν παντες Αχαιοι επεβοησαν αξιουντες αιδεισθαι τε τον ιερεα, και τα περικαλλη αυτου αποινα δεδεχθαι· αλλ' ουκ ηρεσκε τω Ατρειδει Αγαμεμνονι ταυτα κατα την αυτου ψυχην· και δη σκληρως αυτον απεπεμψεν, επιταγμα δε επιτατ|ε δυναστειας και επικρατειας εχομενον. Τοδ' ην· (10) Ορα, ω γερον, ινα μη σε παρα ταις κοιλαις ναυσιν εγω καταλαβω, η νυν δηθυνοντ', η υστερον επανιοντα· ινα μη ου χρησιμεση σοι η ραβδος και το στεμμα του θεου, εφ' οις θαρρων ηκεις.

I.

PLATONIS ENARRATIO.

Ελθων δε ὁ ἱερευς ευχετο εκεινοις μεν τους θεους δουναι, ἁλοντας την Τροιαν, αυτους δε σωθηναι· την δε θυγατερα οἱ αυτῳ λυσαι, δεξαμενους ἀποινα, (5) και τον θεον αιδεσθεντας. Τοιαυτα δε ειποντος αυτου, οἱ μεν αλλοι εσεβοντο και συνηνουν· ὁ δε Αγαμεμνων ηγριαινεν, εντελλομενος νυν τε ιεναι, (10) και αυθις μη ελθειν, μη αυτῳ τοτε σκηπτρον και τα του θεου στεμματα ουκ επαρκεσοι·

III.

METAPHRASIS.

Ω Ατρεως παιδες, και οἱ λοιποι ευοπλαι Ἑλληνες· ὑμιν μεν οἱ θεοι παρασχοιεν οἱ τον ολυμπον κατοικουντες, εκπορθησαι του Πριαμου την πολιν, και καλως εις τα οικεια παραγενεσθαι. Την προσφιλη δε μοι θυγατερα λυτρωσασθε, τα δε δωρα δεξασθε, (5) αζομενοι τον Διος υἱον τον μακροβολον Απολλωνα. Τοτε οἱ μεν Ἑλληνες αλλοι παντες μετ' ευφημιας εβοησαν, ευλαβεισθαι τε τον ἱερεα, και τα λαμπρα δεξασθαι δωρα· αλλ' ου τῳ Ατρεως παιδι Αγαμεμνονι ηρκεσε τη ψυχη, αλλα μεθ' ὑβρεως απεπεμψεν, απειλητικον δε λογον ελεγε. (10) Μηδαμως, ω γερον, επι ταις βαθειαις εγω σε ναυσι καταλαβω, η νυν εχρανιζονκη εκ δευτερον παλιν παραγενομενον, μηπως ουκ αν σοι βοηθηση ἡ ραβδος, και τα στεφανωματα του θεου.

Την δ' εγω ου λυσω, πριν μιν και γηρας επεισιν,
Ημετερω ενι οικω, εν Αργει τηλοθι πατρης,
Ιστον επoιχομενην, και εμον λεχος αντιωσαν.
Αλλ' ιθι, μη μ' ερεθιζε, σαωτερος ως κε νεηαι.
Ως εφατ'· εδδεισεν δ' ο γερων, και επιθετο μυθω.
Βη δ' αχεων παρα θινα πολυφλοισβοιο θαλασσης.
Πολλα δ' επειτ' απανευθε κιων ηρατ' ο γεραιος
Απολλωνι ανακτι, τον ηϋκομος τεκε Λητω.
Κλυθι μευ, Αργυροτοξ', ος Χρυσην αμφιβεβηκας,
Κιλλαν τε ζαθεην, Τενεδοιο τε ιφι ανασσεις,
Σμινθευ· ειποτε τοι χαριεντ' επι νηον ερεψα,
Η ει δη ποτε τοι κατα πιονα μηρι' εκηα
Ταυρων ηδ' αιγων, τοδε μοι κρηηνον ελδωρ·
Τισειαν Δαναοι εμα δακρυα σοισι βελεεσσιν.

II.

PARAPHRASIS.

Ταυτην δε εγω ου λυτροις ελευθερωσω και ταυτα, προτερον πριν επ' αυτην ελευσεσθαι το γηρας εν τη εμη καθεδρα, λεγω εν τω Αργει παρρω της πατριδος αυτης, (15) ιστον μεταχειριζομενην και τη εμη κοιτη υπηρετουμενην· αλλ' απιθι, μη με διεγειρε· ως αν αζημιος απηλθης. ουτως επεταξεν· εφοβηθη δε ο γερων και επεισθη τω επιταγματι· απηλθε δε σιωπων μεθ' εκπληξεως πλησιον του αιγιαλου της θαλασσης της συνεχη ηχην τη παρα των αιγιαλων επικλυσει ποιουσης την πορειαν ποιουμενος· απελθων δε παρρω ο γηραιος επιτεταμενος ανεπεμπε ευχην (20) τω Απολλωνι τω ανακτι, ον η καλλικομος ετεκε Λητω· λεγων, επακουσον μου, αργυροτοξε, ος της χρυσης υπερασπιζεις, και της Κιλλης της δια σε θειοτατης, και της Τενεδου κραταιως ανασσεις· σμινθευ· ειποτε σοι επι τον ναον περικαλλη αναθηματα, και επαγωγα φερων ανεθηκα· η ειποτε σοι μηρους λιπαρων

ωριν δε λυθηναι αυτου την θυγατερα, εν Αργει εφη γηρασειν μετα ού. (16) απενεγκε δε εκελευε, και μη ερεθιζειν, ίνα σως οικαδε ελθοι. Ὁ δε ωρεσβυτης ακουσας εδεισε τε και απηει σιγη, αποχωρησας δ' εκ του στρατοπεδου, ωολλα (20) τῳ Απολλωνι ευχετο, τας τε επωνυμιας του θεου ανακαλων, και ὑπομιμνησκων, και απαντων, ει τι ποτε η εν ναων οικοδομησεσιν, η εν ἱερων θυσιαις κεχαρισμενον δωρησαιτο· (25) ὠν δη χαριν κατευχετο τισαι τους Αχαιους τα ἀ δακρυα τοις εκεινου βελεσιν.

III.

METAPHRASIS.

Ταυτην εγω ουκ απολυσω ωρο του αυτην το γηρας καταλαβειν εν τῳ ἡμετερῳ οικῳ εν τῳ Πελοποννησῳ ωορρω της πατριδος, (15) ιστουργουσαν και ὑφαινουσαν και εις την εμην κοιτην ὑπαντωσαν. Αλλ' απιθι, μη με ωαροξυνε, ὁπως αν σωζομενος επανελθης. Ουτως ειπεν, ὁ δε γερων εφοβηθη και επειθετο τῳ λογῳ. Επορευθη δε ἡσυχως, ωαρα τον αιγιαλον της ωολυταραχου θαλασσης· ωολλα δε μετα ταυτα αποθεν ωορευθεις ηυχετο ὁ γερων (20) τῳ βασιλει Απολλωνι, ὁν ἡ καλλικομος εγεννησε Λητω. επακουσον μου, λαμπροτοξε, ὁστις την Χρυσην ὑπερμαχεις και την θειαν και θαυμαστην Κιλλαν, και της Τενεδου ισχυρως βασιλευεις, ω Σμινθιε· εαν σοι ποτε ευχαρη και καλα επι τον ναον εστεφανωσα, η ειπερ ωοτε σοι λιπαρα και μηριαια οστα εκαυσα (25) ταυρων η και αιγων· τουτο μοι ωληρωσον επιθυμημα· τιμωριαν δοιεν οι ἑλληνες αντι των εμων δακρυων τοις σοις βελεσι.

παρων ταυρων και αιγων κατεκαυσα, ταυτην μοι επιθυμιαν τελειωσον· δοτωσαν οἱ δαναοι την προσηκουσαν τιμωριαν εις εκδικησιν των εμων δακρυων.

IV.

Excerptum e
Tzetzis Allegorica Expositione.

Της αλφα ἡ ὑποθεσις Ὁμηρου ραψωδιας·
Ινα προς την ωφελειαν παλιν επαναλαβω,
Ταδε δηλοι κατα λεπτον, ἁπερ ενθαδε φρασω.
Ὁ Ομηρος ὁ σαυσοφος την γνωμην την οικειαν
Ὡς Καλλιοπην, ὡς θεαν, ὡς μουσαν παρεισαγων
Ανερωτα, τι αιτιον οργης της Αχιλλεως,
Αφ' οὑ προς Αγαμεμνονα διηθραυσεν ερισας·
Ἡ δε φησιν (ὡς προς αυτον δηθεν το παν βιβλιον,
Ουτως ενταυθα την αρχην του λογου ποιουμενος)
Ο της Λητους και του Διος ἡλιος παις Απολλων
Της εχθρας και της μηνιδος αιτιος εγεγονει·
Ο Χρυσης ην γαρ ἱερευς Απολλωνος ἡλιου·
Ηγουν σοφος και επωδος αστρονομων και μαγος
Εκ του ἡλιου συμπαντα ποιων και συν ἡλιω·
Οὑτος το στεφος του θεου το δαφνιον κατεχων,
Και σκηπτρον τουτου το χρυσουν και περισσα δεδωρα,
Ηλθεν εξωνησομενος αυτου την θυγατερα·
Οιον, (ἱνα σαφεστερον το παν σοι διαρθρωσω)
Ο Χρυσης, ὁνπερ ειπομεν μαγον και αστρολογον,
Εστολισμενος μαντικως και μανικως εισηλθε.

Χερσι κατεχων στεφανον Απολλωνος ηλιου,
Τουτ' εστιν ευωδεστατον θαλλοντα κλαδον δαφνης,
Ην περιεχων ηλιος τον κυκλον του χρονου
Θαλλουσαν δεδορκεν αει μη χεουσαν τα φυλλα,
Και συν αυτω κατειχεν δε και το χρυσειον το σκηπτρον,
Την μιαν ραβδον μαντικην, χρυση γαρ ουκ υπηρχεν,
Αλλα ξυλινη και κυρτη, χρησιμος δε μαντειαις.
Κατα της γης γαρ χεοντες τεφραν εκ της εστιας
Τη ραβδω ταυτη τεχνικως εγραφον τας μαντειας
Βλεποντες προς τον ηλιον, και λεγοντες το μελλον·
Ταυτην την ραβδον Πλουταρχος λιτυον ονομαζει,
Λιτυους δε Κοκκειανος Κασσιος Διων λεγει.
Ουτως ὁ Χρυσης μαντικως εστολισμενος ηλθε,
Συν δωροις ωνησομενος αυτου την θυγατερα.
Ως δ' Αχαμεμνων μετ' οργης εξηλασεν εκεινον,
Ηυξατο τω Απολλωνι ὁ Χρυσης καθ' Ελληνων,
Ηγουν επηυξατο σφοδρον τον ηλιον γενεσθαι·
Ὁ δε σφοδρος γενομενος μετα πολλους τους ομβρους
Εις στρατευμα, πολυπληθες πυκνωμα σκνιωματων,
Ατμους δυσωδεις ανιμων και κοπρων και πλωματων,
Μιασμας δυσκρατησεν τε συμπαντα τον αερα,
Ως συνεργουντος και αυτου ταις μαγικαις ταις τεχναις,
Λοιμους επηγαγε δεινους· — κ. τ. λ.

V.

* Ὑποθεσις του Ὁμηρου αλληγορηθεισα παρα του γραμματικου του Τζετζου τη κραταιοτατη βασιλισσα και Ὁμηρικωτατη τη εξ Αλαμαννων.

Επει Φαιδρα πανσεληνε σεληνη σελασφορε,
Ουκ εκ ροων ωκεανου φαινουσα λελουμενη,
Αλλ' επι πορφυρας της κλεινης, ὡς επεισιν εικασαι,
Ανασκιρτωσα Φερενυκης και πωλεον του Φωσφορου
Χρηζεις ελαυνειν πορρω σοις σοις ψυχικαις ακτισι
Το σκοτεινον των λεξεων και βιβλων την εσπεραν.
Ου κατα Κλεοπατραν δε βασιλισσαν την παλαι
Τω Εφεσιω ιατρω τω Σωρανω χρωμενην
Μετερχη τα καλλυνοντα μορφας τας των προσωπων·
Ουτε χρυσουν τι πελαγος βραχυτατον εθελεις,
Ὡσπερ εκεινη προτερον εν τη Αλεξανδρεια
Τω Δεξιφανει τω σοφω μηχανικω Κνιδιω
Χερσωσασα την θαλασσαν αχρι τετρασταδιου·
Επει τοιουτον ουδαμως βουλεται σου το κρατος·
Ουτε τον Αθωνα θαλασσαν ορος ποιησαι μεγα,
Η την Αβυδου θαλασσαν ολκασι γεφυρωσαι,
Ὡσπερ ὁ Ξερξης εδρασεν ὁ Περσης, πριν εκεινος
Εκ της Περσιδος στρατευμα κινων πορος την Ελλαδα·
Αλλ' ὡς αθεατος θεα τη θεσει και ου φυσει

* Tzetzis allegorica Homeri expositio, unde hæc excerpta sunt, extat in quatuor codicibus Oxonienſibus, Baroccianis 24. 131. 194. et Codice Novi Collegii: integrè vero non nisi in Bar. 131.

Επεντρυ-

Επεντρυφωσα ταις μορφαις και καλλεσι των λογων,
Δια βροντης και λαιλαπος ομου και της νεφελης
Θειαν φωνην προπεμπουσι γεμουσαν ολην φρικης
Χηροτονεις τον δουλον σου τον τινα τον οποιον
Γενεσθαι τυπον αχραιφνη του παλαι Μωυσεως,
Ουχι φυλαξαι σωζοντα λαον Ισραηλιτην
Το ερυθραιον πελαγος πεμοντα βακτηρια,
Ουδε Περσιδος θαλασσαν, ουδε την Υρκανιαν,
Αλλα τον μεγαν τον βαθυν ωκεανον Ομηρου
Τον πασαν περισφιγγοντα κυκλω την οικουμενην,
Εαυτον κελευεις απασι και πορευτον ποιησαι,
Ως Μωυσης την ερυθραιαν Ισραηλιταις παλαι·
Ηδη χωρω προς τον ειρμον και γλωττης βακτηρια
Πληξας αυτον τοις συμπασι πορευσιμον ποιησω.
Και βαθη τε αθεατα τουτου φανειται πασιν.
Αλλ' αναχαιτιζεσθωσαν αι μωμοσκοποι γλωσσαι
Εξυλακτειν τι καθ' ημων οιστρουμεναι τω φθονω·
Ως γαρ αι παλαι γραφουσι τον Δια μυθουργιαι
Μεταβαλλειν εις μορφωμα πιθηκων τους Τιτανας·
Ουτω καγω νυν βουλομαι τροποις οικονομιας
Μεταβαλλειν τους ηρωας συγγραμμασι πιθηκων.
Και δη λοιπον πεισουσι τας θειας ακοας σου
Προ παντων πρωτον μανθανε του ποιητου το γενος,
Πατριδα και γεννητορας μετα των διδασκαλων·
Και χρονους, οις επυγχανε, και ποσις γραφει βιβλους·
Και που, και πως εξελειψε τον βιον τελευτησας·
Και δη και την υποθεσιν μαθε της Ιλιαδος
Κατα λεπτον την συμπασαν, και τας μορφας Ελληνων·

Εἰτα δ', ει θελεις, μετα ταυτα και πασαν Ιλιαδα,
Ὡσπερ κελευει θελημα το σον, μεταποιησω.
Τεως τωρο τωαντων μανθανε του ποιητου το γενος.
Ὁ Ὁμηρος ὁ πανσοφος, ἡ θαλασσα των λογων,
Πλην γεμουσα του νεκταρος ουχ ἁλμυρων ὑδατων,
Ἑπτα πατριδων λεγεται τυγχανειν αμφιβολων,
Ἑπτα πατερων γεννημα, και τουτων αμφιβολων·
Λεγεται γαρ εκ των Θηβων ὑπαρχειν της Αιγυπτου,
Ετεροις Βαβυλωνιος, Χιος δοκει τοις ἀλλοις;
Ἰητης, Κολοφωνιος, Σμυρναιος, Αθηναιος·
Συ δε Σμυρναιον γινωσκε τον Ὁμηρον ὑπαρχειν.
Ἑπτα πατερας λεγουσι παλιν ὑπαρχειν τουτου·
Οἱ μεν γαρ τουτου λεγουσι πατερα Μενεμαχην,
Αιγυπτιον τυγχανοντα ἱστρογραμματεα·
Οἱ δε παλιν Δαημονα, τινες δε Μεσαγορην·
Ανθρωπους αμφω ζησαντας εμπορικην τον βιον·
Τηλεμαχον και Θαμυριν ἀλλοι ληρουσι παλιν·
Ἀλλοις δε Μαιονος ἱερ και Ἰρνηθους καλειται·
Οἱ πλειονες δε Μελητος φασι και Κρηθηϊδος.
Διδασκαλος Ὁμηρου δε γινεται Προναπιδης·
Ὁ Καδμος εξ Αιγυπτου γαρ ελθων εις την Ἑλλαδα
Τον Λινον εξεπαιδευσεν εν γραμμασι Φοινικων·
Ὁ Λινος δ' εξεπαιδευσεν ὁ μαθητης του Καδμου,
Ορφεα, Ηρακλεα, και δε τον Προναπιδην·
Τον Λινον τον διδασκαλον ὁ Ηρακλης φονευει·
Ὁ δε Ορφευς γινεται διδασκαλος του Μουσαιου·
Ὁ Πραναπιδης ουτος δε τον Ὁμηρον διδασκει.
Και δη μαθων ὁ Ὁμηρος παντα τα Προναπιδου,

Χρηζων

Χρηζων και πλειονα μαθειν εις Αιγυπτον απηλθε,
Κακει λοιπον ετρυγησε πασης σοφιας ανθος.
Σοφος δ' ακρως γενομενος υπερ ανθρωπου φυσιν,
Τρια και δεκα γεγραφε μνημοσυνων βιβλια,
Μαργιτην, και την Αιγα τε, και των μυων την μαχην.
Την Επιγονων μαχην γραφει, και Θηβαϊδα,
Την Οιχαλιαν, Κερκωπας, εις τους θεους τε υμνους.
Και τους επτα επακτιον και τας επικυκλιδας,
Και επιγραμματα πολλα συν νυμφικοις υμνοις.
Και την Οδυσσειαν αυτην μετα της Ιλιαδος.

Αλλα και χρονον μαθε μοι τον του Ομηρου πρωτον,
Και την τελευτην εκεινου, ειτα σαφως ακουσεις
Τον νουν και την υποθεσιν πασης της Ιλιαδος.
Οι ματην γραφειν θελοντες ιστορικα βιβλια
Ομοχρονον τον Ομηρον λεγουσιν Ησιοδου,
Επι τω Αμφιδαμαντος ταφω δοκιμασθεντες.
Αλλ' ουτοι μεν αγνοουσιν ειναι πολλους τους Ομηρους,
Ομηρον τον Βυζαντιον υιον του Ανδρομαχου.
Και τον του Ευφρονος υιον Ομηρον τον Φωκεα,
Καιπερ τι παρεσφαλησαν τουτω συμπαθητεοι.
Ως και οι υστερον αυτον ειποντες Ησιοδου,
Επι της βασιλειας γαρ λεγουσι του Αρξιππου,
Ησιοδον και Ομηρον υπαρχειν αμφοτερους.
Αλλα τον μεν Ησιοδον αρχη της βασιλειας,
Τον Ομηρον προς τελος δε του κρατους Αρξιππου,
Χρονους ομου τριακοντα κρατησαντος και πεντε
Της βασιλειας Αθηναν. αλλ' αγνοουσιν ουτοι
Ποιος υπηρχεν Ομηρος τοις χρονοις του Αρξιππου.

Κατα

Κατα δ' ἡμας ὁ Ὁμηρος χρονοις τετρακοσιοις
Του Ησιοδου προτερος, και σκοπει μοι και μαθε.
Επι των δυο στρατειων ὁ Ὁμηρος ὑπηρχε,
Θηβαϊκης και Τρωϊκης, οιδας εκ Προναπιδου·
Και Διονυσιος φησιν ὁ κυκλογραφος τουτο·
Μαθε και αλλοθε καλως ακριβεστερως τουτο.
Ὁ Ποιητης Στησιχορος υἱος ἡν Ἡσιοδου,
Εν χρονοις του Φαλαριδος ων και του Πυθαγορου·
Ουτοι δ' Ὁμηρου ὑστεροι χρονοις τετρακοσιοις.
Επει γουν εγνωκας καλως και χρονον του Ὁμηρου·
Την τουτου μαθε την τελευτην ποιῳ συνεβη τροπῳ.
Πενης ὑπαρχων και τυφλος γενομενος εκ γηρως,
Απανταχου διηρχετο τας χωρας της Ἑλλαδος,
Λεγων αυτου ποιηματα, δεχομενος εντιμως.
Ὡς δ' ηλθε παρερχομενος περι την Αρκαδιαν
Ζενιζεται παρα τινι κᾳκεισε Κρεοφυλῳ,
Εν ᾡπερ μενων φιλικως ἡμερας επι πλειστας
Περιπατησων ερχεται παρα την παραλιαν.
Ησαν δ' εκεισε ἁλιεις αγραν ουκ ηγρευκοτες,
Μονον δε φθειριζομενοι και κτεινοντες τας φθειρας.
Ων ἁλιεων Ὁμηρος ακουσας συλλαλουντων
Ω ανδρες, ειπεν, αλιεις Αρκαδες, εχομεν τι;
Οιδ' απεκριναντο αυτῳ περι φθειρων λαλουντες,
Τους, οὑς μεν εκρατησαμεν, ουκ εχομεν εισετι·
Οὑς περ δ' ουκ εκρατησαμεν, εχομεν μαλλον τουτους.
Ὁ μη νοησας Ὁμηρος λυπουμενος αμετρως
Προς ἡν τοτε κατεμενεν, ὑπεστρεφεν οικιαν.
Πηλου δ' οντος ωλισθησε και κεκρουκως εις πετραν

Κλᾳ

Κλᾳ την πλευραν την δεξιαν, και πλευτᾳ τριτειως.
Επει λοιπον μεμαθηκας και θανατον Ομηρου,
Μανθανε την ὑποθεσιν της ὁλης Ιλιαδος.
Οἱ μεν αγροικικωτερον γραφοντες και χυδεως,
Γαμους Πηλεως λεγουσι και Θετιδος γενεσθαι,
Και συμπαρειναι τους θεους τοις γαμοις εν Πηλιῳ,
Και συν αυτοις και τας θεας, κατ' ἐξοχην δε ταυτας,
Ἡραν ὁμου και Αθηναν και γε την Αφροδιτην.
Την δ' Εριν ουσαν μαχιμον και φιλονεικοτατον
Τουτων απειναι λεγουσι των γαμων μη κληθεισαν.
Αυτη δε ζεσασα θυμῳ και λυπῃ βεβλημμενη,
Μηλον εσκευασε χρυσουν, εγραψε δε τῳ μηλῳ,
ΛΑΒΕ ΚΑΛΗ ΤΩΝ ΘΕΑΙΝΩΝ, ΛΑΒΕ ΚΑΛΗ ΤΟ ΜΗΛΟΝ,
ΚΑΙ ΤΗ, ΚΑΛΗ, ΤΩΝ ΘΕΑΙΝΩΝ ΕΣΤΩ ΤΟ ΜΗΛΟΝ ΔΩΡΟΝ.
Ουτως Ἐρις, ὡς Φασι, ποιησασα το μηλον,
Απο του τειχους ἐρριψε μεσον του γαμου τουτου.
Ευθυς δε Ηρα, Αθηνα, μετα της Αφροδιτης,
Την γαμικην την τραπεζαν αφεισαν και τον ποτον,
Περι του μηλου μαλιστα την μαχην συνεκροτουν,
Εκαστη τουτων λεγουσα καλλει νικαν τας αλλας.
Τελος λαβοντα τον Ἑρμην ταυτας ὁ Ζευς κελευει
Προς τον Αλεξανδρον αυτον απαγαγειν εις Ιδην·
Ἡν δ' αν αυτων Αλεξανδρος ωραιοτεραν κρινῃ,
Ταυτην το μηλον επαθλον λαμβανειν ευμορφιας.
Ὡς δε ταχεως ηλθος αυτην εγενοντο την Ιδην,
Ἡρα μεν ηλθος Αλεξανδρον ταδε φησι κρυφιως.

Ει

Ει κρινεις εμε κιειτονα, και δως μοι το μηλον,
Αρχειν εγω ποιησω σε δυσεως και της εω·
Η δ' Αθηνα καταρχοντα φρυγων της στρατηγιας
Ελλαδα πασαν ελεγε δουλην αυτω ποιησαι·
Η δ' Αφροδιτη προς αυτον Αλεξανδρον ειπουσα,
Ει κρινεις τουτων κρειτονα, δωσω σοι την Ελενην.
Λαμβανει νικητηριον και επαθλον το μηλον.
Αλεξανδρος, φερεκλου δε πλοια πεποιηκοτος,
Εις την Ελλαδα κατελθων αρπαζει την Ελενην,
Οθεν ο μεγας πολεμος εκεινοις ανερραγη,
Και πολις η περιβλεπτος, η Τροια κατεσκαφη,
Και παντες παραναλωμα γεγονασι του ξιφους.
Ταυτα φασιν οι αμαθως λαλουντες και νηπιως,
Το δ' αληθες νυν μανθανε λεπτως ηκριβωμενως.
Ο Λαομεδοντος υιος Πριαμος και Λευκιππης,
Ειτε Ροιους κατα τινας, Στρυμνους δε καθ' ετερους,
Γημας Ηκαβην Δριμαντος, κατα τινας Κισσεως,
Τιους εγεννησε πολλους και μην και θυγατερας·
Επει δε και Αλεξανδρου εγκυος ην Εκαβη,
Γεινηται φλεγοντα δαλον εδοκησεν ονειροις,
Ος πασης επυρπολησε τας Τρωων περιχωρους·
Οι των ονειρων δε κριται τουτο μαθοντες ειπον,
Το βρεφος οπερ ενδοθι φερεις εν τη γαστρι σου,
Τη περιχωρω γινεται πασης των Τρωων βλαβη.
Ουτω μεν ειπον οι κριται τοτε των ονειρατων.
Γεννησασι βρεφος δε Παριν κατονομαζει.
Ο δε πατηρ ο Πριαμος, τω φοβω των ονειρων,

Μετα

Μετα την βρεφους γεννησιν ηλθεν εις το μαντειον,
Ανερωτησων ποδαπον εκθησεται το βρεφος.
Εδοθη τουτῳ δε χρησμος τοιουτοτροπως λεγων·
Πριαμε, Τρωων βασιλευ, συζυγε της Ἑκαβης,
Δυσπαρις Παρις σοι υἱος αρτι κακως ετεχθη,
Ὀν μη γεννησαι κρειττον ην, η συμφοραν γεννησαι· 190
Ὁ παις γαρ οὑτος γεγονως τριακοντα των χρονων
Ολεσει τα βασιλεια των Τρωων και τας πολεις.
Ὁπερ μαθων ὁ Πριαμος πολλῳ τρομῳ και φρικῃ
Το βρεφος μετακαλεσεν Αλεξανδρον ευθεως,
Και Αρχελαῳ δεδωκεν οικετῃ το παιδιον,
Ὡς αν εις ορος που ριφθεν καταβρωθῃ θηριοις.
Και δη λαβων Αρχελαος απερριψεν εις Ιδην.
Αρκτος δ' εθηλαζεν αυτον ξενως ἡμεραις πεντε.
Εν μεσῳ τουτων τελευτα το βρεφος Αρχελαου·
Ὁ δε το παν ἡ γυναικι συμβουλευθεις εμφρονως 200
Το μεν νεκρον απερριψεν εις ορος αντ' εκεινου,
Το βρεφος δε βασιλικον αυτος αναλαμβανει,
Και ανατρεφει πατρικως, ποιμαινειν τε διδασκει,
Ὡσπερ τινες ἱστοριοι γραφουσι περι τουτου.
Ἑτεροι παλιν λεγουσι πειθανωτερως ταχα,
Πριαμον τον Αλεξανδρον μη δουναι Αρχελαῳ,
Εις βρωσιν ριψαι τοις θηρσιν· αλλ' ελεων το βρεφος
(Νομιζων οὑτω τε φυγειν και του χρησμου τους λογους)
Τῳ Αρχελαῳ δεδωκεν τρεφειν εν τοις χωριοις,
Βασιλικαις ανατροφαις, παιδευσει τε παντοια. 210
Ὁ δε λαβων εις Αμανδρον απηγαγε χωριον,

Ὅπερ χωριον Πριαμος πολιν ποιησας τοτε
Παριον κατωνομασεν εις ονομα του βρεφους.
Εκει γουν εκτρεφομενος Αλεξανδρος, ὡς εφην,
Λεγεται κριναι τας θεας εν γαμοις του Πηλεως,
Και δουναι νικητηριον το μηλον Αφροδιτῃ·
Τουτο δ' ὁτι ψευδὲς εστι δηλον εκ των πραγματων.
Του Αχιλλεως γαρ πατηρ ην ὁ Πηλευς, ὡς οιδας·
Ὁ δ' Αχιλευς γεραιτερος υπηρχεν Αλεξανδρου·
Και γαρ ὁ Νεοπτολεμος, υἱος του Αχιλλεως,
Πολεμιστης ην τελειος τῳ Τρωϊκῳ πολεμῳ,
Αυτοσχεδον ισοχρονος ὑπαρχων Αλεξανδρῳ.
Και πως ουκ εστιν αλογον Αλεξανδρον δικαζειν
Γαμοις τινος τοις ἑαυτου πατρὶς ισοχρονουντος;
Τουτο μεν ληρον και ψευδες, το δ' αληθες τοιουτον.
Ὡς απελθων ὁ Πριαμος ηκουσεν εκ μαντειου
Τριακοντα γενομενον Αλεξανδρον των χρονων
Ολεσαι τα βασιλεια των Τρωων και τα περιξ·
Αμα το βρεφος ελεων, μηδ' αποκτειναι θελων,
Και γε την αφυκτον φυγειν ελπιζων ειμαρμενην,
Ει το τριακοντα χρονον Αλεξανδρος εκδραμοι,
Τῳ Αρχελαῳ δεδωκεν εν τοις αγροις εκτρεφειν
Εις τι χωριον Αμανδρον καλουμενον την κλησιν,
Ὁ νυν καλειται Παριον πολις αντι χωριου,
Εις κλησιν την του Παριδος κτισθεν εκ του Πριαμου.
Ὁ Παρις γουν Αλεξανδρος εκεισε διατριβων
Μεχρι της παρελευσεως της τριακοντουτιας·
Πασης εξεπαιδευσατο βασιλικας παιδευσεις,

Ιππευειν,

Ιππευειν, ακοντιζειν τε, τοξευειν, σφαιραν παιζειν,
Και πασαν αλλην παιδευσιν πρεπουσαν βασιλευσιν. 240
Ὁς ῥητωρ δε γενομενος γραφει πολλα μεν αλλα,
Εις εν δε τουτου συγγραμμα τας τρεις θεας συγκρινει,
Την Αθηναν την Φρονησιν, την Ηραν την ανδρειαν,
Και την επιθυμιαν δε φημι την Αφροδιτην·
Η· και το μηλον δεδωκε την νικην τα πρωτεια,
Ὡς Ιωαννης Χρονικος Αντιοχευς που γραφει
Αυτο μονον αλληγορων, τ' αλλα παραλιμπανων,
Γαμον Πηλεως Θετιδος, Ερμην τε και τον Δια,
Την Ιδην, ὑπερ εκρινε θεας τας θρυλλουμενας.
Ὁ Τζ[ε]ζης δ' απαντα λεπ[τ]ως αλληγορει, κ' προσχες· 250
Μεχρι του παρελθειν φησι την τριακοντουτιαν ——

Quæ ſequuntur allegorica eſt fabula de Paridis judicio expoſitio; et quid re ipſa fuerit Jupiter, &c. In explicanda fabula auctoribus utitur Anaxagora et Empedocle. Deinde pergit:

Τοιαυτα μεν Αλεξανδρος επραξεν εν Παριῳ 334
Μεχρι της παρελευσεως της τριακοντουτιας.
Ὡς δε μετα τριακοντα δυο παρηλθον χρονοι,
Νομισαν το γεροντιον, ὁ Πριαμος εκεινος,
Ὡς ὁ χρησμος παρεδραμεν, ὁ χρονος παρερρυη,
Βλαβη λοιπον ου γινεται Τρωσιν εξ Αλεξανδρου.

Redit

Rediiſſe Paridem ait ex Ida ad Trojam Aprilis die 21!—et Junii die 18 ſolviſſe ad Græciam.

Κελευει τουτον ὁ πατηρ πλευσαι προς την Ἑλλαδα 347
Και θυσαι λυσιν συμφορων Απολλωνι Δαφναιῳ.

Literas et dona principibus Græciæ affert. Menelaum ad Cretam mox iturum reperit.

Ὁ δε Μενελαος λαβων τα δυσδωρα τα δωρα 357
Αυτος ωρος Κρητην επλευσεν ἑνεκα της θυσιας·
Αλεξανδρον τον Παριν δε κατελειψε τοις οικοις
Τριακοντα και δυο μεν ὑπαρχοντα των χρονων,
Ωραιον ωανυ και λευκον εις ηλικιαν οἱον,
Χρυσοτριχα, δασυτριχα, και των αβροβοστρυχων,
Χαροποπροσωπον πλυ και ὑπομειδιωντα,
Συντομολογον, ευλαλον τῳ ταχει δε των λογων,
Πολλακις αποπτυοντα λεπτοτατον σιελου,
Κατα τας ορνις, ἁς φαμεν κλησιν ακανθυλλιδας·
Ὁς την Ἑλενην κατιδων το δειλινον εν κηπῳ
Μετα δουλιδων των αυτης, και γυναικων ἑτερων;
Εικοσι ἑξ ὑπαρχουσαν χρονων την ηλικιαν,
Καλλος ουσαν αμιμητον, ξενην τῃ διαπλασει,
Ὑπερ χιονα δε λευκην και τρυφεραν το σωμα,
Ευπροσωπον και ευρινα, και των καλλιοφρυων,
Ευοφθαλμον, ὑγροφθαλμον, χαροποπροσωπουσαν,
Ευχειλον, ανθηροχειλον, και μελιτοφωνουσαν,
Ευμαστον, ωυῤῥακιζουσαν, και καλλιτραχηλουσαν.

Πασι

Παση καλοις, παση τερπνοις πασων ὑπερτερουσαν
Ὁσον ἡ πληροσεληνος Φαιδροκυκλος σεληνη
Ὑπερτερει των αμυδρων νυκτερινων ἀστερων.

Rapta Helena. Helenam repoſcunt Græci. Conſpirant ad Helenam repetendam. Tandem poſt elapſos decem annos ad Aulidem conveniunt. Explicatio allegorica narrationis de Achille inter Lycomedis filias latente. Irenem alloquitur de nominibus ducum :

Μαθε τας τ[ε]ων κλησεις δε πρωτον, ἠ ναυαρχιας, 471
Και τας μορφας εις επειτα τας των αριστοτερων·
Ειτα λοιπον μοι μετ' αυτα μαθοις τα του πολεμου —

Metaphraſin ejus ſpondet complexuram, quæ habent Homerus, Steſichorus, Euripides, Lycophron, Coluthus, Leſchas, Dictys, Tryphiodorus, Quintus Calaber :

Και τοτε τμημα[τ]ι βραχει παντα συγκεκλεισμενα, 480
Ὁπως πας ὁ βουλομενος εν πονῳ βραχυτατῳ
Ανεγνωκεναι τοις πολλοις δοκῃ βιβλιοθηκας.

Qui locus a *Dodwello* adductus eſt in opere de Cyclis Græcorum, p. 802. Poſt deſcriptas Græcorum ducum imagines redit ad claſſem portu Aulidis collectam : et rerum narrationem inde perſequitur, de

de Iphigenia, de draconte et paſſeribus, de Græcis in Æginam deſcendentibus; qua occaſione primum recenſet nomina Trojanorum ducum; deinde rem perſequitur uſque ad expugnatam urbem Lerneſſum, et Chryſeidem captivam factam, cujus cauſa pater ad Græcorum exercitum ſupplex venit.

Ὁστις περ Χρυσης ἱερευς Απολλωνος ὑπαρχων 1167
Λαβων το στεφος του θεου δαφνιεν ὑπηργμενον,
Και το χρυσουν το μαντικον σκηπτρον, μετα και δωρων,
Ηλθεν εξωνησομενος αυτου την θυγατερα.

VI.

Iliadis tertii libri metaphraſis a TZETZE.

Επειδὲ παρεταξαντο παρα των ἡγεμονων
Οἱ Τρωες επρευοντο κλαγγῇ τε και θορυβῳ·
Δικην γερανων φευγουσων εις Αιγυπτον και Θρακην,
Οὐ τους Πυγμαιους κτεινουσι τρωγωσαι τουτων στραχυς·
Οἱ Ἑλληνες επηρχοντο και σιωπῃ και ταξει·
Ὁ δὲ πολυς κονιορτος πεζων τε και των ἱππεων
Ὡσπερ ομιχλη σκοτωσιν επιησεν βαθειαν.
Ὁ δὲ θεοις παρομοιος Αλεξανδρος το εἰδος,
(Ηγουν ὁ ὡραιοτατος δικην λαμπρων αστερων,
Η μαλλον ὁ αυτοχρημα τελων επθυμια) 10

Πρωτος

Πρωτος των αλλων ωρμηδων των Τρωων ωρεμαχει,
Ἑλληνων τον βουλομενον ζητων μονομαχησαι.
Ιδων δε τον Μενελαον τον ἀρματος πηδωντα,
Ὡσπερ τις δρακοντα ιδων εφυγεν ωχριασας.
Τουτον ὁ Ἑκτωρ θυμωθεις λογοις λοιδοροις ωλυνει,
Απαλεων, γυναμανες, ειδε νεκρος μοι εινης,
Παρο δακτυλοδεικτημα και Τρωων παντων ὑβρις·
Ουτως μεγαλα χαιρουσι το στρατευμα Ἑλληνων
Τῳ λογισμῳ των εαυτων αριστον σε δοκουντες,
Ανθ' ὡν ὁρωσιν ευμορφον, ὡραιον σου το εἰδος·
Πως ουκ αυτος τοιουτος ων νυμφων ανδρων αριστων
Ἁρπαξας βλαβην ηγαγες συμπαντι Τρωων γενει.
Ει καρτερεις πολεμησων Ἑλενης τῳ σιωευνῳ,
Και γνωσῃ τινος ἡρπαξας νεαζουσαν γυναικα.
Ουκ ωφελησει σοι ουδεν ἡ μουσικη θεουτι,
Ου καλλος, ουδε τριχωσις, της ΑΦροδιτης δωρα,
(Εισουν επιθυμιας τε, ει τι και του αστερος.
Οἱ γεννηθεντες παντες γαρ αστερι ΑΦροδιτης
Και μαλλον της αιρεσεως ουτι μη ωαρ' αρετης·
Αν κειται μαλλον και καλως οἱσπερ αρμοζει τροπις,
Ὡραιοι και επαστοι γυναικες τε και ανδρες·
Αν εν τῃ ωρωτῃ μαλλον δε ἡ εικοστῃ ογδοῃ
Μοιρα Καρκινου φερουσιν αυτην την ΑΦροδιτην,
Θεαις οἱ ανδρες μιγνυνται, τουτ' εστι βασιλισσαις,
Ἡ ισοθεαις γυναιξιν, ὡς Πτολεμαιος γραφει.
Γυναικες παλιν δε θεοις ειτε και ισοθεοις.)
Ουτω μεν Ἑκτωρ ωρος αυτον Αλεξανδρον ην λεγων·
Ει Μενελαῳ πολεμον συνηραξας, ευ ισθι,

Ουδεν

Ουδεν σοι ἡ γενεθλιος ωνησεν Αφροδιτη.
Αλλα δαλοι ὑπαρχουσιν, Αλεξανδρε, οἱ Τρωες,
Οἱτινες ου κατεχωσι βαλλοντες σε τοις λιθοις.
Προς τουτον δε Αλεξανδρος ουτως ανταπεκριθη·
Εκτορ, επει με ὑβρισας ωρεπωλως επαξιως
Σος λογος, ὡσπερ πελεκυς, κοπτει μου την καρδιαν,
Θαρσους εμωλησας πειθει με μαχεσθαι Μενελαῳ·
Συ δε μη καλωνειδιζε το καλλος και την τριχα,
Τα των θεων δωρηματα, αστερων γενεθλιων·
Ἁπερ μοι καλωνειδισας, την κομην και το καλλος
Και τα λοιπα των αγαθων, απρἰητα ουκ εστιν·
Ἁπερ παρασχωσιν αυτοι, θελων δ' ουκ αν τις λαβη;
Σεμνως εντευθεν και δεινως ανθυβρισεν ὁ Παρις,
Ουτω σεμνως ὑβρισας δε ουκ εδοξεν ὑβριζειν·
Μελας, στραβος γαρ και ψελλος ην Εκτωρ, ὡς γινωσκεις,
Εν τῳ ειπειν ὁ Παρις δε θελων ουκ αν τις λαβη·
Μονον ουχι λεγει ταυτι τας ὑβρεις επικρυπτων·
Εκτορ και συ αν ηθελες τοιουτος γεγονεναι,
Αλλ' ειμαρμενην εσχηκας ἑτεραν· λοιπον παυου·
Και καλλος μη καθυβριζε μηδε την τριχωσιν μου·
Ει βουλει δε με μαχεσθαι μετα του Μενελαου,
Το Τρωϊκον μεν στρατευμα παυσον και των Ἑλληνων·
Εγω δε και Μενελαος μονοι μονομαχουμεν,
Ὁ δε νικησας ἁπαντα λαβετω συν Ἑλενη,
Οἱ δ' αλλοι παρερχεσθωσαν εις τας αυτων πατριδας.
Ουτως ειποντος Παριδος Εκτωρ τερφθεις τῳ λογῳ
Τους Τρωας μαχης επαυσεν μεσον κρατων το δορυ·
Οἱ δ' Ἑλληνες τοξευμασιν εβαλον και τοις λιθοις,

Μεχρις

Μέχρις επεσχε βαλλοντας εκεινους Αχαιμενων·
Και τοτε τοις στρατευμασιν Ἑκτωρ τοις δυο λεγει
Γνωμην την Αλεξανδρειαν περι μονομαχιας.
Παντων ησυχασαντων δε Μενελαος ταυ῀ειπεν·
Ὁ λογος εστιν αριστος ὁ της μονομαχιας·
Αλλ᾽ ορκοις βεβαιωσωμεν τερτερον τα της μαχης·
Παρεστω δε και Πριαμος αυτος εν ταις θυσιαις,
Απιστος γαρ Αλεξανδρος και παραβατος ορκων.
Εχαρησαν οἱ Ἑλληνες και Τρωες επι τουτο
Παυσιν ευρειν ελπιζοντες του χαλεπου πολεμου.
Συντομως αφωπλιζοντο πλησιον δε αλληλων·
Οἱ Ἑλληνες εκαθηντο και Τρωες δικην φιλων.
Ὁ Ἑκτωρ πεμπει φερειν δε παντα τα προς θυσιαν,
Καλεσαι τε τον Πριαμον τοις ορκοις συμπαρειναι·
Και Αχαιμενων επεμψεν εκ πλοιων αρνα φερειν.
Ἡ Ιρις τη Ἑλενη δε παν το συμβαν μηνυει,
Τον περι ταυτης πολεμον και την μονομαχιαν,
Ὁμοιωθεισα θυγατρι Πριαμου Λαοδικη.
Του῀ἐστιν, Ιρις γεγονε τοξον το νεφελωδες,
Εξ ου῀το συμβησομενον ενοησεν Ἑλενη,
Ὡς ειπερ τις κατελεξε παντα καλως εκεινη.
Ηλθε δε προς ενθυμιον ευθυς του Μενελαου,
Και της πατριδος της αυτης αλλα και γεννητορων.
Λεπτῳ δ᾽ επικαλυμματι κατακαλυψαμενη
Δυσι συν αλλοις ωρμησε κλαιουσι προς τον πυργον.
Περι δε πυλας τας Σκαιας αυτην διερχομενην
Απο του πυργου βλεποντες οἱ γεροντες των Τρωων
Εκ γηρως μεν απημαχοι, συμβουλοι δε γενναιοι

Πριαμῳ συγκαθημενοι, και αδελφοις Πριαμου
Τῳ Παυθεῳ, και Θυμοιτῃ και Λαμπῳ και Κλυτιῳ,
Και συν Ἱκεταονι τῳ αδελφῳ τῳ Ἕκτορος.
Ὁ Ουκαλεγων δε αυτος ἁμα και ὁ Αντηνωρ
Εν ηρεμαιᾳ τῃ Φωνῃ αλληλοις προσλαλουντες,
Ου νεμεσις, εφθεγξαντο δια τοιαυτην κορην
Επι τολυ κακοπαθειν τους Ἕλληνας και Τρωας·
Αλλα και καλλος εχουσι τοιουτον απερχεσθω,
Μη γενοιτο μηδ' οπισθεν ἡμιν βλαβη και τεκνοις.
Ταυτην δε Πριαμος αυτου τλησιον εδριασας
Ανερωτων εμανθανεν Ἑλληνων τους αριστους.
Πρωτον τον Αχαμεμνονα, ὑπερ και μακαριζει,
Τον Οδυσσεα δευτερον, τον Αιαντα δε τριτον·
Μογη δ' ὑπεδειξεν αυτῳ και τον Ιδομενεα.
Τους αδελφους δε Καστορα ταυτης και Πολυδευκην
Απθανοντας ουδαμου προσβλεπειν δυναμενη
Μη συστρατευσαι τοις λοιποις εδοκησεν Ἑλληνων,
Η δι' αυτην αισχυνεσθαι Φαννιαι τῳ πολεμῳ.
Οι κηρυκες λαβοντες δε παντα τα προς θυσιαν
Καλουσι και τον Πριαμον· ὁ δ' αναβας εις αρμα
Ηλθε παρα το στρατευμα Ἑλληνων τε και Τρωων·
Σταντων προς την θυσιαν δε, νιψαντων και τας χειρας
Ὁ Αχαμεμνων των αρνων τας τριχας αποκψας
Ἑλληνων διενειματο και Τρωων τους αριστους·
Ηυχετο δε προς ουρανον τας χειρας αναπτινας·
Ηλιε, γη, και ουρανε, και ποταμων το ὑδωρ,
Και οι παρ' Ἁδην τιμωροι δαιμονες των αδικων,
Ὑμεις φοροι γινεσθε και Φυλακες των ορκων,

Κ'αν

Κ'αν μεν Αλεξανδρος αυτος Μενελαον φονευση,
Ἑλενην και τα χρηματα ταυτης εχετω παντα·
Ημεις δε πορευσομεθα παλιν εις την πατριδα.
Αν δ' αντιστροφως γενοιτο γενεσθω τουναντιον,
Ἡμιν δε πεπαυται τιμη δοθητω κατα νομους,
Το των χρηματων ἡμισυ δηλον των εν τη πολει.
Ουτως ειπων απεσφαξε την αρνα Αχαμεμνων,
Οινον δ' επεχεεν αυτος· ηυχετο πας λαος δε
Χυθηναι τον εγκεφαλον ουτω των επιορκων.
Ὁ δε Κρονιων ουδαμως τουτων ευχας εκπληρου,
Η σκοτεινη και ασηλος ἁπασιν ειμαρμενη.
Ὁ Πριαμος μεριδα δε λαβων εκ της θυσιας
Οπισθοδρομος ηλαυνε παλιν ὡς προς την Τροιαν,
Ειπων, τον θανατον αυτων οιδεν ἡ ειμαρμενη,
Εγω δ' ουχ ὑπομειναιμι βλεπειν τοις οφθαλμοις μου
Αλεξανδρον μαχομενον μετα του Μενελαου·
Ουτως ειπων ὁ Πριαμος ευθεως ὑπεχωρει.
Τον του μονομαχιου δε τοπον συγχαταμετρουν
Ἑκτωρ ὁμου και Οδυσσευς· εβαλλον δε και κληρους
Του Μενελαου, Παριδος, εν περικεφαλαια,
Ὁστις αν προτερον αυτων λαχοι το βελος πεμψαι.
Ἑκτωρ δε βλεπων οπισθεν τους κληρου ανεκινει·
Και προτερον εξεδραμεν ὁ κληρος Αλεξανδρου.
Ουτω δε μεσον εστησαν οπλοις ευτρεπισμενοι.
Και τοξοτων μεν Αλεξανδρος το στιφος Μενελαου
Ηπρεκτος εμεινε βαλων, κλιθεντος του σιδηρου.
Δευτερος δε Μενελαος πεμψας αυτου το δορυ,
Εκοψε την ασπιδα τε και πασαν πανοπλιαν

Προς

Προς την λαπαραν Παριδος· κλιθεις δ' αυτος συντομως
Εξεφυγεν τον θανατον δορατος Μενελαου·
Μενελαος τω ξιφει δε πληξας την κεφαλαιαν
Εκ της χειρος τετρακλαστον απεβαλε το ξιφος·
Υμνοις ορμησας το λοιπον εἱλκε χερσιν εκεινον
Στρεφων ὡς προς τους Ἑλληνας εκ περικεφαλαιας·
Και τουτον αν απεκτεινε Μενελαος ωθεως
Ει μηπερ εσωσεν αυτον ἡ Αφροδιτη τοτε
Τον λωρον αποκοψασα της περικεφαλαιας·
Και τουτον αφαρπαξασα προς τον αυτου κοιτωνα,
Ητις συνεκλινεν αυτω τοτε και την Ἑλενην.
Της Αφροδιτης μανθανε νυν την αλληγοριαν.
Οἱ Αφροδιτης εχοντες γενεθλιον αστερα
Κειμενον τοπις αγαθοις, σωζονται και κινδυνων.
Επει δε το γενεθλιον τοιουτον Αλεξανδρου,
Ουτως εξεφυγε σωθεις του λωρου κεκαμμενου.
Επει δε δρα και τοθεινους τους ουτω γεννηθεντας,
Πολλα ζυγομαχησασαν τρος εαυτην Ἑλενην,
Το καλλος δ' ειλκυσεν αυτην, καὶ μετα ποιαν ηδαν·
Και ουτως συγκατεκλινεν ὡσπερ νενικηκοτι.
Ὁ δε Μενελαος αυτον, ὡς λεων, ανηρωτα.
Ελεγε τοτε τοιγαρουν αυτος ὁ Αγαμεμνων·
Ἡ νικη, Τρωες, φαινεται τυγχανειν Μενελαου,
Δοτε λοιπον τα χρηματα, δοτε και την Ἑλενην,
Και την τιμην την πρεπουσαν την ουσιν κατα νομον,
Το των χρηματων ἡμισυ δηλον των εν τη πολει.

MVSEVM BRITAN NICVM

FINIS.